# ΙΗΣΟΥΣ ΝΑΥΗ

1 ΚΑΙ ἐγένετο μετὰ τὴν τελευτὴν Μωυσῆ,
εἶπε Κύριος τῷ Ἰησοῖ υἱῷ Ναυὴ τῷ ὑπουργῷ
Μωυσῆ λέγων·
2 Μωυσῆς ὁ θεράπων μου τετελεύτηκε· νῦν
οὖν ἀναστὰς διάβηθι τὸν Ἰορδάνην, σὺ καὶ
πᾶς ὁ λαὸς οὗτος εἰς τὴν γῆν, ἣν ἐγὼ δίδωμι
αὐτοῖς.
3 πᾶς ὁ τόπος, ἐφ' ὃν ἂν ἐπιβῆτε τῷ ἴχνει
τῶν ποδῶν ὑμῶν, ὑμῖν δώσω αὐτόν, ὃν
τρόπον εἴρηκα τῷ Μωυσῇ,
4 τὴν ἔρημον καὶ τὸν Ἀντιλίβανον ἕως τοῦ
ποταμοῦ τοῦ μεγάλου ποταμοῦ Εὐφράτου,
καὶ ἕως τῆς θαλάσσης τῆς ἐσχάτης ἀφ' ἡλίου
δυσμῶν ἔσται τὰ ὅρια ὑμῶν.
5 οὐκ ἀντιστήσεται ἄνθρωπος κατενώπιον
ὑμῶν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, καὶ
ὥσπερ ἤμην μετὰ Μωυσῆ, οὕτως ἔσομαι καὶ
μετὰ σοῦ καὶ οὐκ ἐγκαταλείψω σε, οὐδ'
ὑπερόψομαί σε.
6 ἴσχυε καὶ ἀνδρίζου, σὺ γὰρ ἀποδιελεῖς τῷ
λαῷ τούτῳ τὴν γῆν, ἣν ὤμοσα τοῖς πατράσιν
ὑμῶν δοῦναι αὐτοῖς.
7 ἴσχυε οὖν καὶ ἀνδρίζου, φυλάσσεσθαι καὶ
ποιεῖν καθότι ἐνετείλατό σοι Μωυσῆς ὁ παῖς
μου, καὶ οὐκ ἐκκλινεῖς ἀπ' αὐτῶν εἰς δεξιὰ
οὐδὲ εἰς ἀριστερά, ἵνα συνῇς ἐν πᾶσιν οἷς
ἐὰν πράσσῃς.

8 καὶ οὐκ ἀποστήσεται ἡ βίβλος τοῦ νόμου
τούτου ἐκ τοῦ στόματός σου, καὶ μελετήσεις
ἐν αὐτῷ ἡμέρας καὶ νυκτός, ἵνα εἰδῇς ποιεῖν
πάντα τὰ γεγραμμένα· τότε εὐοδωθήσῃ, καὶ
εὐοδώσεις τὰς ὁδούς σου καὶ τότε συνήσεις.
9 ἰδοὺ ἐντέταλμαί σοι· ἴσχυε καὶ ἀνδρίζου,
μὴ δειλιάσῃς, μηδὲ φοβηθῇς, ὅτι μετὰ σοῦ
Κύριος ὁ Θεός σου εἰς πάντα, οὗ ἐὰν πορεύῃ.
10 Καὶ ἐνετείλατο Ἰησοῦς τοῖς γραμματεῦσι
τοῦ λαοῦ λέγων·
11 εἰσέλθατε κατὰ μέσον τῆς παρεμβολῆς
τοῦ λαοῦ καὶ ἐντείλασθε τῷ λαῷ λέγοντες·
ἑτοιμάζεσθε ἐπισιτισμόν, ὅτι ἔτι τρεῖς ἡμέραι
καὶ ὑμεῖς διαβαίνετε τὸν Ἰορδάνην τοῦτον
εἰσελθόντες κατασχεῖν τὴν γῆν, ἣν Κύριος ὁ
Θεὸς τῶν πατέρων ὑμῶν δίδωσιν ὑμῖν.
12 καὶ τῷ Ρουβὴν καὶ τῷ Γὰδ καὶ τῷ ἡμίσει
φυλῆς Μανασσῆ εἶπεν Ἰησοῦς·
13 μνήσθητε τὸ ρῆμα, ὃ ἐνετείλατο ὑμῖν
Μωυσῆς ὁ παῖς Κυρίου λέγων· Κύριος ὁ Θεὸς
ὑμῶν κατέπαυσεν ὑμᾶς καὶ ἔδωκεν ὑμῖν τὴν
γῆν ταύτην.
14 αἱ γυναῖκες ὑμῶν καὶ τὰ παιδία ὑμῶν καὶ
τὰ κτήνη ὑμῶν κατοικείτωσαν ἐν τῇ γῇ, ᾗ
ἔδωκεν ὑμῖν, ὑμεῖς δὲ διαβήσεσθε εὔζωνοι
πρότεροι τῶν ἀδελφῶν ὑμῶν, πᾶς ὁ ἰσχύων,
καὶ συμμαχήσετε αὐτοῖς,
15 ἕως ἂν καταπαύσῃ Κύριος ὁ Θεὸς ἡμῶν
τοὺς ἀδελφοὺς ὑμῶν, ὥσπερ καὶ ὑμᾶς, καὶ
κληρονομήσωσι καὶ οὗτοι τὴν γῆν, ἣν Κύριος
ὁ Θεὸς ἡμῶν δίδωσιν αὐτοῖς. καὶ

ἀπελεύσεσθε ἕκαστος εἰς τὴν κληρονομίαν
αὐτοῦ, ἣν ἔδωκεν ὑμῖν Μωυσῆς εἰς τὸ πέραν
τοῦ Ἰορδάνου ἐπ' ἀνατολῶν ἡλίου.
16 καὶ ἀποκριθέντες τῷ Ἰησοῦ εἶπαν· πάντα
ὅσα ἐὰν ἐντείλῃ ἡμῖν, ποιήσομεν καὶ εἰς
πάντα τόπον, οὗ ἐὰν ἀποστείλῃς ἡμᾶς,
πορευσόμεθα·
17 κατὰ πάντα, ὅσα ἠκούσαμεν Μωυσῆ,
ἀκουσόμεθά σου, πλὴν ἔστω Κύριος ὁ Θεὸς
ἡμῶν μετὰ σοῦ, ὃν τρόπον ἦν μετὰ Μωυσῆ.
18 ὁ δὲ ἄνθρωπος, ὃς ἂν ἀπειθήσῃ σοι, καὶ
ὅστις μὴ ἀκούσῃ τῶν ρημάτων σου καθότι
ἐὰν ἐντείλῃ αὐτῷ, ἀποθανέτω. ἀλλὰ ἴσχυε
καὶ ἀνδρίζου.

# 2

1 ΚΑΙ ἀπέστειλεν Ἰησοῦς υἱὸς Ναυὴ ἐκ
Σαττὶν δύο νεανίσκους κατασκοπεῦσαι
λέγων· ἀνάβητε καὶ ἴδετε τὴν γῆν καὶ τὴν
Ἱεριχώ. καὶ πορευθέντες οἱ δύο νεανίσκοι
εἰσήλθοσαν εἰς Ἱεριχὼ καὶ εἰσήλθοσαν εἰς
οἰκίαν γυναικὸς πόρνης, ᾗ ὄνομα Ραάβ, καὶ
κατέλυσαν ἐκεῖ.
2 καὶ ἀπηγγέλη τῷ βασιλεῖ Ἱεριχὼ
λέγοντες· εἰσπεπόρευνται ὧδε ἄνδρες τῶν
υἱῶν Ἰσραὴλ κατασκοπεῦσαι τὴν γῆν.
3 καὶ ἀπέστειλεν ὁ βασιλεὺς Ἱεριχὼ καὶ εἶπε
πρὸς Ραὰβ λέγων· ἐξάγαγε τοὺς ἄνδρας τοὺς
εἰσπεπορευμένους εἰς τὴν οἰκίαν σου τὴν
νύκτα, κατασκοπεῦσαι γὰρ τὴν γῆν ἥκασι.

4 καὶ λαβοῦσα ἡ γυνὴ τοὺς δύο ἄνδρας
ἔκρυψεν αὐτοὺς καὶ εἶπεν αὐτοῖς λέγουσα·
εἰσεληλύθασι πρός με οἱ ἄνδρες·
5 ὡς δὲ ἡ πύλη ἐκλείετο ἐν τῷ σκότει, καὶ οἱ
ἄνδρες ἐξῆλθον, οὐκ ἐπίσταμαι ποῦ
πεπόρευνται· καταδιώξατε ὀπίσω αὐτῶν, εἰ
καταλήψεσθε αὐτούς.
6 αὕτη δὲ ἀνεβίβασεν αὐτοὺς ἐπὶ τὸ δῶμα
καὶ ἔκρυψεν αὐτοὺς ἐν τῇ λινοκαλάμῃ τῇ
ἐστοιβασμένῃ αὐτῇ ἐπὶ τοῦ δώματος.
7 καὶ οἱ ἄνδρες κατεδίωξαν ὀπίσω αὐτῶν
ὁδὸν τὴν ἐπὶ τοῦ Ἰορδάνου ἐπὶ τὰς διαβάσεις,
καὶ ἡ πύλη ἐκλείσθη.
8 καὶ ἐγένετο ὡς ἐξήλθοσαν οἱ διώκοντες
ὀπίσω αὐτῶν καὶ αὐτοὶ δὲ πρὶν ἢ κοιμηθῆναι
αὐτούς, αὕτη δὲ ἀνέβη πρὸς αὐτοὺς ἐπὶ τὸ
δῶμα
9 καὶ εἶπε πρὸς αὐτούς· ἐπίσταμαι ὅτι
ἔδωκεν ὑμῖν Κύριος τὴν γῆν, ἐπιπέπτωκε γὰρ
ὁ φόβος ὑμῶν ἐφ' ἡμᾶς·
10 ἀκηκόαμεν γὰρ ὅτι κατεξήρανε Κύριος ὁ
Θεὸς τὴν ἐρυθρὰν θάλασσαν ἀπὸ προσώπου
ὑμῶν, ὅτε ἐξεπορεύεσθε ἐκ γῆς Αἰγύπτου, καὶ
ὅσα ἐποίησε τοῖς δυσὶ βασιλεῦσι τῶν
Ἀμορραίων, οἳ ἦσαν πέραν τοῦ Ἰορδάνου, τῷ
Σηὼν καὶ Ὤγ, οὓς ἐξωλοθρεύσατε αὐτούς.
11 καὶ ἀκούσαντες ἡμεῖς ἐξέστημεν τῇ
καρδίᾳ ἡμῶν, καὶ οὐκ ἔστη ἔτι πνεῦμα ἐν
οὐδενὶ ἡμῶν ἀπὸ προσώπου ὑμῶν, ὅτι Κύριος
ὁ Θεὸς ὑμῶν Θεὸς ἐν οὐρανῷ ἄνω καὶ ἐπὶ τῆς
γῆς κάτω.

12 καὶ νῦν ὀμόσατέ μοι Κύριον τὸν Θεόν,
ὅτι ποιῶ ὑμῖν ἔλεος καὶ ποιήσατε καὶ ὑμεῖς
ἔλεος ἐν τῷ οἴκῳ τοῦ πατρός μου
13 καὶ ζωγρήσατε τὸν οἶκον τοῦ πατρός μου,
τὴν μητέρα μου καὶ τοὺς ἀδελφούς μου καὶ
πάντα τὸν οἶκόν μου καὶ πάντα, ὅσα ἐστὶν
αὐτοῖς, καὶ ἐξελεῖσθε τὴν ψυχήν μου ἐκ
θανάτου.
14 καὶ εἶπαν αὐτῇ οἱ ἄνδρες· ἡ ψυχὴ ἡμῶν
ἀνθ' ὑμῶν εἰς θάνατον. καὶ αὐτὴ εἶπεν· ὡς ἂν
παραδῷ Κύριος ὑμῖν τὴν πόλιν, ποιήσετε εἰς
ἐμὲ ἔλεος καὶ ἀλήθειαν.
15 καὶ κατεχάλασεν αὐτοὺς διὰ τῆς θυρίδος
16 καὶ εἶπεν αὐτοῖς· εἰς τὴν ὀρεινὴν
ἀπέλθετε, μὴ συναντήσωσιν ὑμῖν οἱ
καταδιώκοντες, καὶ κρυβήσεσθε ἐκεῖ τρεῖς
ἡμέρας, ἕως ἂν ἀποστρέψωσιν οἱ
καταδιώκοντες ὀπίσω ὑμῶν, καὶ μετὰ ταῦτα
ἀπελεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν.
17 καὶ εἶπαν πρὸς αὐτὴν οἱ ἄνδρες· ἀθῷοί
ἐσμεν τῷ ὅρκῳ σου τούτῳ·
18 ἰδοὺ ἡμεῖς εἰσπορευόμεθα εἰς μέρος τῆς
πόλεως, καὶ θήσεις τὸ σημεῖον, τὸ σπαρτίον
τὸ κόκκινον τοῦτο ἐκδήσεις εἰς τὴν θυρίδα,
δι' ἧς κατεβίβασας ἡμᾶς δι' αὐτῆς, τὸν δὲ
πατέρα σου καὶ τὴν μητέρα σου καὶ τοὺς
ἀδελφούς σου καὶ πάντα τὸν οἶκον τοῦ
πατρός σου συνάξεις πρὸς σεαυτὴν εἰς τὴν
οἰκίαν σου.
19 καὶ ἔσται πᾶς, ὃς ἂν ἐξέλθῃ τὴν θύραν
τῆς οἰκίας σου ἔξω, ἔνοχος ἑαυτῷ ἔσται,

ἡμεῖς δὲ ἀθῷοι τῷ ὅρκῳ σου τούτῳ. καὶ ὅσοι
ἐὰν γένωνται μετὰ σοῦ ἐν τῇ οἰκίᾳ σου, ἡμεῖς
ἔνοχοι ἐσόμεθα.
20 ἐὰν δέ τις ἡμᾶς ἀδικήσῃ ἢ καὶ
ἀποκαλύψῃ τοὺς λόγους ἡμῶν τούτους,
ἐσόμεθα ἀθῷοι τῷ ὅρκῳ σου τούτῳ.
21 καὶ εἶπεν αὐτοῖς· κατὰ τὸ ρῆμα ὑμῶν
ἔστω· καὶ ἐξαπέστειλεν αὐτούς.
22 καὶ ἐπορεύθησαν καὶ ἤλθοσαν εἰς τὴν
ὀρεινὴν καὶ κατέμειναν ἐκεῖ τρεῖς ἡμέρας·
καὶ ἐξεζήτησαν οἱ καταδιώκοντες πάσας τὰς
ὁδοὺς καὶ οὐχ εὕροσαν.
23 καὶ ὑπέστρεψαν οἱ δύο νεανίσκοι καὶ
κατέβησαν ἐκ τοῦ ὄρους καὶ διέβησαν πρὸς
Ἰησοῦν υἱὸν Ναυὴ καὶ διηγήσαντο αὐτῷ
πάντα τὰ συμβεβηκότα αὐτοῖς.
24 καὶ εἶπαν πρὸς Ἰησοῦν ὅτι παραδέδωκε
Κύριος πᾶσαν τὴν γῆν ἐν χειρὶ ἡμῶν, καὶ
κατέπτηχε πᾶς ὁ κατοικῶν τὴν γῆν ἐκείνην
ἀφ' ἡμῶν.

# 3

1 ΚΑΙ ὤρθρισεν Ἰησοῦς τὸ πρωΐ, καὶ ἀπῆραν
ἐκ Σαττὶν καὶ ἤλθοσαν ἕως τοῦ Ἰορδάνου καὶ
κατέλυσαν ἐκεῖ πρὸ τοῦ διαβῆναι.
2 καὶ ἐγένετο μετὰ τρεῖς ἡμέρας διῆλθον οἱ
γραμματεῖς διὰ τῆς παρεμβολῆς
3 καὶ ἐνετείλαντο τῷ λαῷ λέγοντες· ὅταν
ἴδητε τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου τοῦ
Θεοῦ ἡμῶν καὶ τοὺς ἱερεῖς ἡμῶν καὶ τοὺς

Λευίτας αἴροντας αὐτήν, ἀπαρεῖτε ἀπὸ τὸν
τόπον ὑμῶν καὶ πορεύσεσθε ὀπίσω αὐτῆς·
4 ἀλλὰ μακρὰν ἔστω ἀνὰ μέσον ὑμῶν καὶ
ἐκείνης, ὅσον δισχιλίους πήχεις στήσεσθε· μὴ
προσεγγίσητε αὐτῇ, ἵνα ἐπίστησθε τὴν ὁδόν,
ἣν πορεύσεσθε αὐτήν· οὐ γὰρ πεπόρευσθε τὴν
ὁδὸν ἀπ' ἐχθὲς καὶ τρίτης ἡμέρας.

5 καὶ εἶπεν Ἰησοῦς τῷ λαῷ· ἁγνίσασθε εἰς
αὔριον, ὅτι αὔριον ποιήσει Κύριος ἐν ὑμῖν
θαυμαστά.

6 καὶ εἶπεν Ἰησοῦς τοῖς ἱερεῦσιν· ἄρατε τὴν
κιβωτὸν τῆς διαθήκης Κυρίου καὶ
προπορεύεσθε τοῦ λαοῦ. καὶ ᾖραν οἱ ἱερεῖς
τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου καὶ
ἐπορεύοντο ἔμπροσθεν τοῦ λαοῦ.

7 καὶ εἶπε Κύριος πρὸς Ἰησοῦν· ἐν τῇ ἡμέρᾳ
ταύτῃ ἄρχομαι ὑψῶσαί σε κατενώπιον
πάντων υἱῶν Ἰσραήλ, ἵνα γνῶσιν ὅτι καθότι
ἤμην μετὰ Μωυσῆ, οὕτως ἔσομαι καὶ μετὰ
σοῦ.
8 καὶ νῦν ἔντειλαι τοῖς ἱερεῦσι τοῖς αἴρουσι
τὴν κιβωτὸν τῆς διαθήκης λέγων· ὡς ἂν
εἰσέλθητε ἐπὶ μέρους τοῦ ὕδατος τοῦ
Ἰορδάνου, καὶ ἐν τῷ Ἰορδάνῃ στήσεσθε.

9 καὶ εἶπεν Ἰησοῦς τοῖς υἱοῖς Ἰσραήλ·
προσαγάγετε ὧδε καὶ ἀκούσατε τὸ ρῆμα
Κυρίου τοῦ Θεοῦ ἡμῶν.

10 ἐν τούτῳ γνώσεσθε ὅτι Θεὸς ζῶν ἐν ὑμῖν
καὶ ὀλοθρεύων ὀλοθρεύσει ἀπὸ προσώπου
ἡμῶν τὸν Χαναναῖον καὶ τὸν Χετταῖον καὶ
τὸν Φερεζαῖον καὶ τὸν Εὐαῖον καὶ τὸν

Ἀμορραῖον καὶ τὸν Γεργεσαῖον καὶ τὸν
Ἰεβουσαῖον·
11 ἰδοὺ ἡ κιβωτὸς διαθήκης Κυρίου πάσης
τῆς γῆς διαβαίνει τὸν Ἰορδάνην.
12 προχειρίσασθε ὑμῖν δώδεκα ἄνδρας ἀπὸ
τῶν υἱῶν Ἰσραήλ, ἕνα ἀφ' ἑκάστης φυλῆς.
13 καὶ ἔσται ὡς ἂν καταπαύσωσιν οἱ πόδες
τῶν ἱερέων τῶν αἱρόντων τὴν κιβωτὸν τῆς
διαθήκης Κυρίου πάσης τῆς γῆς ἐν τῷ ὕδατι
τοῦ Ἰορδάνου, τὸ ὕδωρ τοῦ Ἰορδάνου
ἐκλείψει, τὸ δὲ ὕδωρ τὸ καταβαῖνον
στήσεται.
14 καὶ ἀπῆρεν ὁ λαὸς ἐκ τῶν σκηνωμάτων
αὐτῶν διαβῆναι τὸν Ἰορδάνην, οἱ δὲ ἱερεῖς
ᾗροσαν τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου
πρότεροι τοῦ λαοῦ.
15 ὡς δὲ εἰσεπορεύοντο οἱ ἱερεῖς οἱ αἴροντες
τὴν κιβωτὸν τῆς διαθήκης ἐπὶ τὸν Ἰορδάνην
καὶ οἱ πόδες τῶν ἱερέων τῶν αἱρόντων τὴν
κιβωτὸν τῆς διαθήκης Κυρίου ἐβάφησαν εἰς
μέρος τοῦ ὕδατος τοῦ Ἰορδάνου· ὁ δὲ
Ἰορδάνης ἐπληροῦτο καθ' ὅλην τὴν κρηπίδα
αὐτοῦ ὡσεὶ ἡμέραι θερισμοῦ πυρῶν·
16 καὶ ἔστη τὰ ὕδατα τὰ καταβαίνοντα
ἄνωθεν, ἔστη πῆγμα ἓν ἀφεστηκὸς μακρὰν
σφόδρα σφοδρῶς ἕως μέρους Καριαθιαρίμ, τὸ
δὲ καταβαῖνον κατέβη εἰς τὴν θάλασσαν
Ἄραβα, θάλασσαν ἁλός, ἕως εἰς τὸ τέλος
ἐξέλιπε· καὶ ὁ λαὸς εἱστήκει ἀπέναντι Ἱεριχώ.
17 καὶ ἔστησαν οἱ ἱερεῖς οἱ αἴροντες τὴν
κιβωτὸν τῆς διαθήκης Κυρίου ἐπὶ ξηρᾶς ἐν
μέσῳ τοῦ Ἰορδάνου· καὶ πάντες οἱ υἱοὶ

Ἰσραὴλ διέβαινον διὰ ξηρᾶς, ἕως συνετέλεσε
πᾶς ὁ λαὸς διαβαίνων τὸν Ἰορδάνην.

# 4

1 ΚΑΙ ἐπεὶ συνετέλεσε πᾶς ὁ λαὸς
διαβαίνων τὸν Ἰορδάνην, καὶ εἶπε Κύριος τῷ
Ἰησοῖ λέγων·
2 παραλαβὼν ἄνδρας ἀπὸ τοῦ λαοῦ, ἕνα ἀφ'
ἑκάστης φυλῆς,
3 σύνταξον αὐτοῖς λέγων· ἀνέλεσθε ἐκ
μέσου Ἰορδάνου ἑτοίμους δώδεκα λίθους καὶ
τούτους διακομίσαντες ἅμα ὑμῖν αὐτοῖς, θέτε
αὐτοὺς ἐν τῇ στρατοπεδείᾳ ὑμῶν, οὗ ἐὰν
παρεμβάλητε ἐκεῖ τὴν νύκτα.
4 καὶ ἀνακαλεσάμενος Ἰησοῦς δώδεκα
ἄνδρας τῶν ἐνδόξων ἀπὸ τῶν υἱῶν Ἰσραήλ,
ἕνα ἀφ' ἑκάστης φυλῆς,
5 εἶπεν αὐτοῖς· προσαγάγετε ἔμπροσθέν μου
πρὸ προσώπου Κυρίου εἰς μέσον τοῦ
Ἰορδάνου, καὶ ἀνελόμενος ἐκεῖθεν ἕκαστος
λίθον ἀράτω ἐπὶ τῶν ὤμων αὐτοῦ κατὰ τὸν
ἀριθμὸν τῶν δώδεκα φυλῶν τοῦ Ἰσραήλ,
6 ἵνα ὑπάρχωσιν ὑμῖν οὗτοι εἰς σημεῖον
κείμενον διαπαντός, ἵνα ὅταν ἐρωτᾷ σε ὁ
υἱός σου αὔριον λέγων, τί εἰσιν οἱ λίθοι
οὗτοι ἡμῖν;
7 καὶ σὺ δηλώσεις τῷ υἱῷ σου λέγων· ὅτι
ἐξέλιπεν ὁ Ἰορδάνης ποταμὸς ἀπὸ προσώπου
κιβωτοῦ διαθήκης Κυρίου πάσης τῆς γῆς, ὡς
διέβαινεν αὐτόν· καὶ ἔσονται οἱ λίθοι οὗτοι

ὑμῖν μνημόσυνον τοῖς υἱοῖς Ἰσραὴλ ἕως τοῦ
αἰῶνος.
8 καὶ ἐποίησαν οὕτως οἱ υἱοὶ Ἰσραήλ,
καθότι ἐνετείλατο Κύριος τῷ Ἰησοῖ, καὶ
ἀναλαβόντες δώδεκα λίθους ἐκ μέσου τοῦ
Ἰορδάνου, καθάπερ συνέταξε Κύριος τῷ
Ἰησοῖ ἐν τῇ συντελείᾳ τῆς διαβάσεως τῶν
υἱῶν Ἰσραήλ, καὶ διεκόμισαν ἅμα ἑαυτοῖς εἰς
τὴν παρεμβολὴν καὶ ἀπέθηκαν ἐκεῖ.
9 ἔστησε δὲ Ἰησοῦς καὶ ἄλλους δώδεκα
λίθους ἐν αὐτῷ τῷ Ἰορδάνῃ ἐν τῷ γενομένῳ
τόπῳ ὑπὸ τοὺς πόδας τῶν ἱερέων τῶν
αἰρόντων τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου,
καί εἰσιν ἐκεῖ ἕως τῆς σήμερον ἡμέρας.
10 εἱστήκεισαν δὲ οἱ ἱερεῖς οἱ αἴροντες τὴν
κιβωτὸν τῆς διαθήκης ἐν τῷ Ἰορδάνῃ, ἕως οὗ
συνετέλεσεν Ἰησοῦς πάντα, ἃ ἐνετείλατο
Κύριος ἀναγγεῖλαι τῷ λαῷ, καὶ ἔσπευσεν ὁ
λαὸς καὶ διέβησαν.
11 καὶ ἐγένετο ὡς συνετέλεσε πᾶς ὁ λαὸς
διαβῆναι, καὶ διέβη ἡ κιβωτὸς τῆς διαθήκης
Κυρίου, καὶ οἱ λίθοι ἔμπροσθεν αὐτῶν.
12 καὶ διέβησαν οἱ υἱοὶ Ρουβὴν καὶ οἱ υἱοὶ
Γὰδ καὶ οἱ ἡμίσεις φυλῆς Μανασσῆ
διεσκευασμένοι ἔμπροσθεν τῶν υἱῶν Ἰσραήλ,
καθάπερ ἐνετείλατο αὐτοῖς Μωυσῆς.
13 τετρακισμύριοι εὔζωνοι εἰς μάχην
διέβησαν ἐναντίον Κυρίου εἰς πόλεμον πρὸς
τὴν Ἱεριχὼ πόλιν.
14 ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ηὔξησε Κύριος τὸν
Ἰησοῦν ἐναντίον τοῦ παντὸς γένους Ἰσραήλ,

καὶ ἐφοβοῦντο αὐτόν, ὥσπερ Μωυσῆν, ὅσον
χρόνον ἔζη.

15 Καὶ εἶπε Κύριος τῷ Ἰησοῖ λέγων·
16 ἔντειλαι τοῖς ἱερεῦσι τοῖς αἴρουσι τὴν
κιβωτὸν τῆς διαθήκης τοῦ μαρτυρίου Κυρίου
ἐκβῆναι ἐκ τοῦ Ἰορδάνου.
17 καὶ ἐνετείλατο Ἰησοῦς τοῖς ἱερεῦσι
λέγων· ἔκβητε ἐκ τοῦ Ἰορδάνου.
18 καὶ ἐγένετο ὡς ἐξέβησαν οἱ ἱερεῖς οἱ
αἴροντες τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου
ἐκ τοῦ Ἰορδάνου καὶ ἔθηκαν τοὺς πόδας ἐπὶ
τῆς γῆς, ὥρμησε τὸ ὕδωρ τοῦ Ἰορδάνου κατὰ
χώραν καὶ ἐπορεύετο καθὰ χθὲς καὶ τρίτην
ἡμέραν δι' ὅλης τῆς κρηπίδος.
19 καὶ ὁ λαὸς ἀνέβη ἐκ τοῦ Ἰορδάνου δεκάτῃ
τοῦ μηνὸς τοῦ πρώτου· καὶ
κατεστρατοπέδευσαν οἱ υἱοὶ Ἰσραὴλ ἐν
Γαλγάλοις κατὰ μέρος τὸ πρὸς ἡλίου
ἀνατολὰς ἀπὸ τῆς Ἱεριχώ.
20 καὶ τοὺς δώδεκα λίθους τούτους, οὓς
ἔλαβεν ἐκ τοῦ Ἰορδάνου, ἔστησεν Ἰησοῦς ἐν
Γαλγάλοις
21 λέγων· ὅταν ἐρωτῶσιν ὑμᾶς οἱ υἱοὶ ὑμῶν
λέγοντες· τί εἰσιν οἱ λίθοι οὗτοι;
22 ἀναγγείλατε τοῖς υἱοῖς ὑμῶν, ὅτι ἐπὶ
ξηρᾶς διέβη Ἰσραὴλ τὸν Ἰορδάνην τοῦτον,
23 ἀποξηράναντος Κυρίου τοῦ Θεοῦ ἡμῶν τὸ
ὕδωρ τοῦ Ἰορδάνου ἐκ τῶν ἔμπροσθεν αὐτῶν,
μέχρις οὗ διέβησαν· καθάπερ ἐποίησε Κύριος
ὁ Θεὸς ἡμῶν τὴν ἐρυθρὰν θάλασσαν, ἣν
ἀπεξήρανε Κύριος ὁ Θεὸς ἡμῶν ἔμπροσθεν

ἡμῶν, ἕως παρήλθομεν,
24 ὅπως γνῶσι πάντα τὰ ἔθνη τῆς γῆς, ὅτι ἡ
δύναμις τοῦ Κυρίου ἰσχυρά ἐστι, καὶ ἵνα
ὑμεῖς σέβησθε Κύριον τὸν Θεὸν ἡμῶν ἐν
παντὶ χρόνῳ.

# 5

1 ΚΑΙ ἐγένετο ὡς ἤκουσαν οἱ βασιλεῖς τῶν
Ἀμορραίων, οἳ ἦσαν πέραν τοῦ Ἰορδάνου, καὶ
οἱ βασιλεῖς τῆς Φοινίκης οἱ παρὰ τὴν
θάλασσαν, ὅτι ἀπεξήρανε Κύριος ὁ Θεὸς τὸν
Ἰορδάνην ποταμὸν ἐκ τῶν ἔμπροσθεν τῶν
υἱῶν Ἰσραὴλ ἐν τῷ διαβαίνειν αὐτούς, καὶ
ἐτάκησαν αὐτῶν αἱ διάνοιαι καὶ
κατεπλάγησαν καὶ οὐκ ἦν ἐν αὐτοῖς φρόνησις
οὐδεμία ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ.
2 ὑπό δὲ τοῦτον τὸν καιρὸν εἶπε Κύριος τῷ
Ἰησοῖ· ποίησον σεαυτῷ μαχαίρας πετρίνας ἐκ
πέτρας ἀκροτόμου καὶ καθίσας περίτεμε τοὺς
υἱοὺς Ἰσραὴλ ἐκ δευτέρου.
3 καὶ ἐποίησεν Ἰησοῦς μαχαίρας πετρίνας
ἀκροτόμους καὶ περιέτεμε τοὺς υἱοὺς Ἰσραὴλ
ἐπὶ τοῦ καλουμένου τόπου Βουνὸς τῶν
ἀκροβυστιῶν.
4 ὃν δὲ τρόπον περιεκάθαρεν Ἰησοῦς τοὺς
υἱοὺς Ἰσραήλ, ὅσοι ποτὲ ἐγένοντο ἐν τῇ ὁδῷ
καὶ ὅσοι ποτὲ ἀπερίτμητοι ἦσαν τῶν
ἐξεληλυθότων ἐξ Αἰγύπτου, πάντας τούτους
περιέτεμεν Ἰησοῦς·
5 τεσσαράκοντα γὰρ καὶ δύο ἔτη
ἀνέστραπται Ἰσραὴλ ἐν τῇ ἐρήμῳ τῇ

Μαβδαρίτιδι,
6 διὸ ἀπερίτμητοι ἦσαν οἱ πλεῖστοι αὐτῶν
τῶν μαχίμων τῶν ἐξεληλυθότων ἐκ γῆς
Αἰγύπτου οἱ ἀπειθήσαντες τῶν ἐντολῶν τοῦ
Θεοῦ, οἷς καὶ διώρισε μὴ ἰδεῖν αὐτοὺς τὴν
γῆν, ἣν ὤμοσε Κύριος τοῖς πατράσιν αὐτῶν
δοῦναι, γῆν ῥέουσαν γάλα καὶ μέλι.
7 ἀντὶ δὲ τούτων ἀντικατέστησε τοὺς υἱοὺς
αὐτῶν, οὓς Ἰησοῦς περιέτεμε, διὰ τὸ αὐτοὺς
γεγεννῆσθαι κατὰ τὴν ὁδὸν ἀπεριτμήτους.
8 περιτμηθέντες δὲ ἡσυχίαν εἶχον αὐτόθι
καθήμενοι ἐν τῇ παρεμβολῇ, ἕως ὑγιάσθησαν.
9 καὶ εἶπε Κύριος τῷ Ἰησοῖ υἱῷ Ναυή· ἐν τῇ
σήμερον ἡμέρᾳ ἀφεῖλον τὸν ὀνειδισμὸν
Αἰγύπτου ἀφ' ὑμῶν. καὶ ἐκάλεσε τὸ ὄνομα
τοῦ τόπου ἐκείνου Γάλγαλα.
10 Καί ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ τὸ πάσχα τῇ
τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς ἀφ'
ἑσπέρας ἐπὶ δυσμῶν Ἱεριχὼ ἐν τῷ πέραν τοῦ
Ἰορδάνου ἐν τῷ πεδίῳ
11 καὶ ἐφάγοσαν ἀπὸ τοῦ σίτου τῆς γῆς
ἄζυμα καὶ νέα.
12 ἐν ταύτῃ τῇ ἡμέρᾳ ἐξέλιπε τὸ μάννα μετὰ
τὸ βεβρωκέναι αὐτοὺς ἐκ τοῦ σίτου τῆς γῆς,
καὶ οὐκέτι ὑπῆρχε τοῖς υἱοῖς Ἰσραὴλ μάννα·
ἐκαρπίσαντο δὲ τὴν χώραν τῶν Φοινίκων ἐν
τῷ ἐνιαυτῷ ἐκείνῳ.
13 Καὶ ἐγένετο ὡς ἦν Ἰησοῦς ἐν Ἱεριχώ, καὶ
ἀναβλέψας τοῖς ὀφθαλμοῖς εἶδεν ἄνθρωπον
ἑστηκότα ἐναντίον αὐτοῦ, καὶ ἡ ρομφαία
ἐσπασμένη ἐν τῇ χειρὶ αὐτοῦ. καὶ προσελθὼν

Ἰησοῦς εἶπεν αὐτῷ· ἡμέτερος εἶ ἢ τῶν
ὑπεναντίων;
14 ὁ δὲ εἶπεν αὐτῷ· ἐγὼ ἀρχιστράτηγος
δυνάμεως Κυρίου νυνὶ παραγέγονα. καὶ
Ἰησοῦς ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν καὶ
εἶπεν αὐτῷ· δέσποτα, τί προστάσσεις τῷ σῷ
οἰκέτῃ;
15 καὶ λέγει ὁ ἀρχιστράτηγος Κυρίου πρὸς
Ἰησοῦν· λῦσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου·
ὁ γὰρ τόπος, ἐφ' ᾧ νῦν ἕστηκας ἐπ' αὐτοῦ,
ἅγιός ἐστι.

# 6

1 ΚΑΙ Ἱεριχὼ συγκεκλεισμένη καὶ
ὠχυρωμένη, καὶ οὐδεὶς ἐξεπορεύετο ἐξ αὐτῆς
οὐδὲ εἰσεπορεύετο.
2 καὶ εἶπε Κύριος πρὸς Ἰησοῦν· ἰδοὺ ἐγὼ
παραδίδωμι ὑποχείριόν σοι τὴν Ἱεριχὼ καὶ
τὸν βασιλέα αὐτῆς τὸν ἐν αὐτῇ, δυνατοὺς
ὄντας ἐν ἰσχύϊ·
3 σὺ δὲ περίστησον αὐτῇ τοὺς μαχίμους
κύκλῳ,
4 καὶ ἔσται ὡς ἂν σαλπίσητε τῇ σάλπιγγι,
ἀνακραγέτω πᾶς ὁ λαὸς ἅμα·
5 καὶ ἀνακραγόντων αὐτῶν πεσεῖται
αὐτόματα τὰ τείχη τῆς πόλεως, καὶ
εἰσελεύσεται πᾶς ὁ λαὸς ὁρμήσας ἕκαστος
κατὰ πρόσωπον εἰς τὴν πόλιν.
6 καὶ εἰσῆλθεν Ἰησοῦς ὁ τοῦ Ναυὴ πρὸς
τοὺς ἱερεῖς

7 καὶ εἶπεν αὐτοῖς λέγων· παραγγείλατε τῷ
λαῷ περιελθεῖν καὶ κυκλῶσαι τὴν πόλιν, καὶ
οἱ μάχιμοι παραπορευέσθωσαν ἐνωπλισμένοι
ἐναντίον Κυρίου·
8 καὶ ἑπτὰ ἱερεῖς ἔχοντες ἑπτὰ σάλπιγγας
ἱερὰς παρελθέτωσαν ὡσαύτως ἐναντίον τοῦ
Κυρίου καὶ σημαινέτωσαν εὐτόνως, καὶ ἡ
κιβωτὸς τῆς διαθήκης Κυρίου
ἐπακολουθείτω·
9 οἱ δὲ μάχιμοι παραπορευέσθωσαν
ἔμπροσθεν καὶ οἱ ἱερεῖς οἱ οὐραγοῦντες
ὀπίσω τῆς κιβωτοῦ τῆς διαθήκης Κυρίου
πορευόμενοι σαλπίζοντες.
10 τῷ δὲ λαῷ ἐνετείλατο Ἰησοῦς λέγων· μὴ
βοᾶτε, μηδὲ ἀκουσάτω μηδεὶς τὴν φωνὴν
ὑμῶν, ἕως ἂν ἡμέραν διαγγείλῃ αὐτὸς
ἀναβοῆσαι, καὶ τότε ἀναβοήσετε.
11 καὶ περιελθοῦσα ἡ κιβωτὸς τῆς διαθήκης
τοῦ Θεοῦ εὐθέως ἀπῆλθεν εἰς τὴν
παρεμβολὴν καὶ ἐκοιμήθη ἐκεῖ.
12 καὶ τῇ ἡμέρᾳ τῇ δευτέρᾳ ἀνέστη Ἰησοῦς
τὸ πρωΐ, καὶ ᾖραν οἱ ἱερεῖς τὴν κιβωτὸν τῆς
διαθήκης Κυρίου,
13 καὶ οἱ ἑπτὰ ἱερεῖς οἱ φέροντες τὰς
σάλπιγγας τὰς ἑπτὰ προεπορεύοντο ἐναντίον
Κυρίου, καὶ μετὰ ταῦτα εἰσεπορεύοντο οἱ
μάχιμοι καὶ ὁ λοιπὸς ὄχλος ὄπισθεν τῆς
κιβωτοῦ τῆς διαθήκης Κυρίου· καὶ οἱ ἱερεῖς
ἐσάλπισαν ταῖς σάλπιγξι, καὶ ὁ λοιπὸς ὄχλος
ἅπας περιεκύκλωσε τὴν πόλιν ἑξάκις ἐγγύθεν
14 καὶ ἀπῆλθε πάλιν εἰς τὴν παρεμβολήν.
οὕτως ἐποίει ἐπὶ ἓξ ἡμέρας.

15 καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀνέστησαν
ὄρθρου καὶ περιήλθοσαν τὴν πόλιν ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ ἑπτάκις·
16 καὶ ἐγένετο τῇ περιόδῳ τῇ ἑβδόμῃ
ἐσάλπισαν οἱ ἱερεῖς, καὶ εἶπεν Ἰησοῦς τοῖς
υἱοῖς Ἰσραήλ· κεκράξατε, παρέδωκε γὰρ
Κύριος ὑμῖν τὴν πόλιν.
17 καὶ ἔσται ἡ πόλις ἀνάθεμα, αὐτὴ καὶ
πάντα, ὅσα ἐστὶν ἐν αὐτῇ, Κυρίῳ Σαβαώθ·
πλὴν Ραὰβ τὴν πόρνην περιποιήσασθε, αὐτὴν
καὶ πάντα ὅσα ἐστὶν ἐν τῷ οἴκῳ αὐτῆς.
18 ἀλλὰ ὑμεῖς φυλάξεσθε σφόδρα ἀπὸ τοῦ
ἀναθέματος, μήποτε ἐνθυμηθέντες ὑμεῖς
αὐτοὶ λάβητε ἀπὸ τοῦ ἀναθέματος καὶ
ποιήσητε τὴν παρεμβολὴν τῶν υἱῶν Ἰσραὴλ
ἀνάθεμα καὶ ἐκτρίψητε ἡμᾶς·
19 καὶ πᾶν ἀργύριον ἢ χρυσίον ἢ χαλκὸς ἢ
σίδηρος ἅγιον ἔσται τῷ Κυρίῳ, εἰς θησαυρὸν
Κυρίου εἰσενεχθήσεται.
20 καὶ ἐσάλπισαν ταῖς σάλπιγξιν οἱ ἱερεῖς·
ὡς δὲ ἤκουσεν ὁ λαὸς τῶν σαλπίγγων,
ἠλάλαξε πᾶς ὁ λαὸς ἅμα ἀλαλαγμῷ μεγάλῳ
καὶ ἰσχυρῷ καὶ ἔπεσεν ἅπαν τὸ τεῖχος
κύκλῳ, καὶ ἀνέβη πᾶς ὁ λαὸς εἰς τὴν πόλιν.
21 καὶ ἀνεθεμάτισεν αὐτὴν Ἰησοῦς καὶ ὅσα
ἦν ἐν τῇ πόλει ἀπὸ ἀνδρὸς καὶ ἕως γυναικός,
ἀπὸ νεανίσκου καὶ ἕως πρεσβύτου καὶ ἕως
μόσχου καὶ ὑποζυγίου, ἐν στόματι ρομφαίας.
22 καὶ τοῖς δυσὶ νεανίσκοις τοῖς
κατασκοπεύσασιν εἶπεν Ἰησοῦς· εἰσέλθατε
εἰς τὴν οἰκίαν τῆς γυναικὸς καὶ ἐξαγάγετε

αὐτὴν ἐκεῖθεν καὶ ὅσα ἐστὶν αὐτῇ.

23 καὶ εἰσῆλθον οἱ δύο νεανίσκοι οἱ
κατασκοπεύσαντες τὴν πόλιν εἰς τὴν οἰκίαν
τῆς γυναικὸς καὶ ἐξηγάγοσαν Ραὰβ τὴν
πόρνην καὶ τὸν πατέρα αὐτῆς καὶ τὴν μητέρα
αὐτῆς καὶ τοὺς ἀδελφοὺς αὐτῆς καὶ τὴν
συγγένειαν αὐτῆς καὶ πάντα, ὅσα ἦν αὐτῇ,
καὶ κατέστησαν αὐτὴν ἔξω τῆς παρεμβολῆς
Ἰσραήλ.

24 καὶ ἡ πόλις ἐνεπρήσθη ἐν πυρισμῷ σὺν
πᾶσι τοῖς ἐν αὐτῇ, πλὴν ἀργυρίου καὶ
χρυσίου καὶ χαλκοῦ καὶ σιδήρου ἔδωκαν εἰς
θησαυρὸν Κυρίου εἰσενεχθῆναι.

25 καὶ Ραὰβ τὴν πόρνην καὶ πάντα τὸν
οἶκον αὐτῆς τὸν πατρικὸν ἐζώγρησεν Ἰησοῦς,
καὶ κατῴκησεν ἐν τῷ Ἰσραὴλ ἕως τῆς
σήμερον ἡμέρας, διότι ἔκρυψε τοὺς
κατασκοπεύσαντας, οὓς ἀπέστειλεν Ἰησοῦς
κατασκοπεῦσαι τὴν Ἱεριχώ.

26 καὶ ὥρκισεν Ἰησοῦς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
ἐναντίον Κυρίου λέγων· ἐπικατάρατος ὁ
ἄνθρωπος, ὃς οἰκοδομήσει τὴν πόλιν ἐκείνην·
ἐν τῷ προωτοτόκῳ αὐτοῦ θεμελιώσει αὐτὴν
καὶ ἐν τῷ ἐλαχίστῳ αὐτοῦ ἐπιστήσει τὰς
πύλας αὐτῆς. καὶ οὕτως ἐποίησεν Ὀζᾶν ὁ ἐκ
Βαιθὴλ ἐν τῷ Ἀβιρὼν τῷ πρωτοτόκῳ
ἐθεμελίωσεν αὐτὴν καὶ ἐν τῷ ἐλαχίστῳ
διασωθέντι ἐπέστησε τὰς πύλας αὐτῆς.

27 καὶ ἦν Κύριος μετὰ Ἰησοῦ, καὶ ἦν τὸ
ὄνομα αὐτοῦ κατὰ πᾶσαν τὴν γῆν.

# 7

1 ΚΑΙ ἐπλημμέλησαν οἱ υἱοὶ Ἰσραὴλ
πλημμέλειαν μεγάλην καὶ ἐνοσφίσαντο ἀπὸ
τοῦ ἀναθέματος· καὶ ἔλαβεν Ἄχαρ υἱὸς Χαρμὶ
υἱοῦ Ζαμβρὶ υἱοῦ Ζαρὰ ἐκ τῆς φυλῆς Ἰούδα
ἀπὸ τοῦ ἀναθέματος· καὶ ἐθυμώθη Κύριος
ὀργῇ τοῖς υἱοῖς Ἰσραήλ.
2 καὶ ἀπέστειλεν Ἰησοῦς ἄνδρας εἰς Γαί, ἥ
ἐστι κατὰ Βαιθήλ, λέγων· κατασκέψασθε τὴν
Γαί·
3 καὶ ἀνέβησαν οἱ ἄνδρες καὶ
κατεσκέψαντο τὴν Γαί. καὶ ἀνέστρεψαν πρὸς
Ἰησοῦν καὶ εἶπαν πρὸς αὐτόν· μὴ ἀναβήτω
πᾶς ὁ λαός, ἀλλ' ὡσεὶ δισχίλιοι ἢ τρισχίλιοι
ἄνδρες ἀναβήτωσαν καὶ ἐκπολιορκησάτωσαν
τὴν πόλιν· μὴ ἀναγάγῃς ἐκεῖ τὸν λαὸν
ἅπαντα, ὀλίγοι γάρ εἰσι.
4 καὶ ἀνέβησαν ὡσεὶ τρισχίλιοι ἄνδρες καὶ
ἔφυγον ἀπὸ προσώπου ἀνδρῶν Γαί.
5 καὶ ἀπέκτειναν ἀπ' αὐτῶν ἄνδρες Γαὶ εἰς
τριακονταὲξ ἄνδρας καὶ κατεδίωξαν αὐτοὺς
ἀπὸ τῆς πύλης καὶ συνέτριψαν αὐτοὺς ἀπὸ
τοῦ καταφεροῦς· καὶ ἐπτοήθη ἡ καρδία τοῦ
λαοῦ καὶ ἐγένετο ὥσπερ ὕδωρ.
6 καὶ διέρρηξεν Ἰησοῦς τὰ ἱμάτια αὐτοῦ, καὶ
ἔπεσεν Ἰησοῦς ἐπὶ τὴν γῆν ἐπὶ πρόσωπον
ἐναντίον Κυρίου ἕως ἑσπέρας, αὐτὸς καὶ οἱ
πρεσβύτεροι Ἰσραήλ, καὶ ἐπεβάλοντο χοῦν
ἐπὶ τὰς κεφαλὰς αὐτῶν.
7 καὶ εἶπεν Ἰησοῦς· δέομαι Κύριε· ἱνατί
διεβίβασεν ὁ παῖς σου τὸν λαὸν τοῦτον τὸν
Ἰορδάνην παραδοῦναι αὐτὸν τῷ Ἀμορραίῳ

ἀπολέσαι ἡμᾶς; καὶ εἰ κατεμείναμεν καὶ
κατῳκίσθημεν παρὰ τὸν Ἰορδάνην.
8 καὶ τί ἐρῶ, ἐπεὶ μετέβαλεν Ἰσραὴλ αὐχένα
ἀπέναντι τοῦ ἐχθροῦ αὐτοῦ;
9 καὶ ἀκούσας ὁ Χαναναῖος καὶ πάντες οἱ
κατοικοῦντες τὴν γῆν περικυκλώσουσιν ἡμᾶς
καὶ ἐκτρίψουσιν ἡμᾶς ἀπὸ τῆς γῆς· καὶ τί
ποιήσεις τὸ ὄνομά σου τὸ μέγα;
10 καὶ εἶπε Κύριος πρὸς Ἰησοῦν· ἀνάστηθι,
ἱνατί τοῦτο σὺ πέπτωκας ἐπὶ πρόσωπόν σου;
11 ἡμάρτηκεν ὁ λαὸς καὶ παρέβη τὴν
διαθήκην, ἣν διεθέμην πρὸς αὐτούς, καὶ
κλέψαντες ἀπὸ τοῦ ἀναθέματος ἐνέβαλον εἰς
τὰ σκεύη αὐτῶν.
12 καὶ οὐ μὴ δύνωνται οἱ υἱοὶ Ἰσραὴλ
ὑποστῆναι κατὰ πρόσωπον τῶν ἐχθρῶν
αὐτῶν· αὐχένα ἐπιστρέψουσιν ἔναντι τῶν
ἐχθρῶν αὐτῶν, ὅτι ἐγενήθησαν ἀνάθεμα· οὐ
προσθήσω ἔτι εἶναι μεθ' ὑμῶν, ἐὰν μὴ
ἐξάρητε τὸ ἀνάθεμα ἐξ ὑμῶν αὐτῶν.
13 ἀναστὰς ἁγίασον τὸν λαὸν καὶ εἰπὸν
ἁγιασθῆναι εἰς αὔριον· τάδε λέγει Κύριος ὁ
Θεὸς Ἰσραήλ· τὸ ἀνάθεμά ἐστιν ἐν ὑμῖν, οὐ
δυνήσεσθε ἀντιστῆναι ἀπέναντι τῶν ἐχθρῶν
ὑμῶν, ἕως ἂν ἐξάρητε τὸ ἀνάθεμα ἐξ ὑμῶν
αὐτῶν.
14 καὶ συναχθήσεσθε πάντες τὸ πρωῒ κατὰ
φυλάς, καὶ ἔσται ἡ φυλή, ἣν ἂν δείξῃ Κύριος,
προσάξετε κατὰ δήμους· καὶ τὸν δῆμον, ὃν
ἐὰν δείξῃ Κύριος, προσάξετε κατ' οἶκον· καὶ
τὸν οἶκον, ὃν ἐὰν δείξῃ Κύριος, προσάξετε

κατ' ἄνδρα·
15 καὶ ὃς ἂν ἐνδειχθῇ, κατακαυθήσεται ἐν
πυρὶ καὶ πάντα, ὅσα ἐστὶν αὐτῷ, ὅτι παρέβη
τὴν διαθήκην Κυρίου καὶ ἐποίησεν ἀνόμημα
ἐν Ἰσραήλ.
16 καὶ ὤρθρισεν Ἰησοῦς καὶ προσήγαγε τὸν
λαὸν κατὰ φυλάς, καὶ ἐνεδείχθη ἡ φυλὴ
Ἰούδα·
17 καὶ προσήχθη κατὰ δήμους, καὶ
ἐνεδείχθη δῆμος Ζαραΐ·
18 καὶ προσήχθη κατ' ἄνδρα, καὶ ἐνεδείχθη
Ἄχαρ υἱὸς Ζαμβρὶ υἱοῦ Ζαρά.
19 καὶ εἶπεν Ἰησοῦς τῷ Ἄχαρ· δὸς δόξαν
σήμερον τῷ Κυρίῳ Θεῷ Ἰσραὴλ καὶ δὸς τὴν
ἐξομολόγησιν καὶ ἀνάγγειλόν μοι τί
ἐποίησας καὶ μὴ κρύψῃς ἀπ' ἐμοῦ.
20 καὶ ἀπεκρίθη Ἄχαρ τῷ Ἰησοῖ καὶ εἶπεν·
ἀληθῶς ἥμαρτον ἐναντίον Κυρίου τοῦ Θεοῦ
Ἰσραήλ· οὕτως καὶ οὕτως ἐποίησα·
21 εἶδον ἐν τῇ προνομῇ ψιλὴν ποικίλην
καλὴν καὶ διακόσια δίδραχμα ἀργυρίου καὶ
γλῶσσαν μίαν χρυσῆν πεντήκοντα
διδράχμων καὶ ἐνθυμηθεὶς αὐτῶν ἔλαβον,
καὶ ἰδοὺ αὐτὰ ἐγκέκρυπται ἐν τῇ σκηνῇ μου
καὶ τὸ ἀργύριον κέκρυπται ὑποκάτω αὐτῶν.
22 καὶ ἀπέστειλεν Ἰησοῦς ἀγγέλους, καὶ
ἔδραμον εἰς τὴν σκηνὴν εἰς τὴν παρεμβολήν·
καὶ ταῦτα ἦν κεκρυμμένα εἰς τὴν σκηνὴν
αὐτοῦ, καὶ τὸ ἀργύριον ὑποκάτω αὐτῶν.
23 καὶ ἐξήνεγκαν αὐτὰ ἐκ τῆς σκηνῆς καὶ
ἤνεγκαν πρὸς Ἰησοῦν καὶ τοὺς πρεσβυτέρους

Ἰσραήλ, καὶ ἔθηκαν αὐτὰ ἔναντι Κυρίου.
24 καὶ ἔλαβεν Ἰησοῦς τὸν Ἄχαρ υἱὸν Ζαρὰ
καὶ ἀνήγαγεν αὐτὸν εἰς φάραγγα Ἀχὼρ καὶ
τοὺς υἱοὺς αὐτοῦ καὶ τὰς θυγατέρας αὐτοῦ
καὶ τοὺς μόσχους αὐτοῦ καὶ τὰ ὑποζύγια
αὐτοῦ καὶ πάντα τὰ πρόβατα αὐτοῦ καὶ τὴν
σκηνὴν αὐτοῦ καὶ πάντα τὰ ὑπάρχοντα
αὐτοῦ, καὶ πᾶς ὁ λαὸς μετ' αὐτοῦ· καὶ
ἀνήγαγεν αὐτοὺς εἰς Ἐμεκαχώρ.
25 καὶ εἶπεν Ἰησοῦς τῷ Ἄχαρ· τί
ὠλόθρευσας ἡμᾶς; ἐξολοθρεύσαι σε Κύριος
καθὰ καὶ σήμερον. καὶ ἐλιθοβόλησαν αὐτὸν
λίθοις πᾶς Ἰσραήλ.
26 καὶ ἐπέστησαν αὐτῷ σωρὸν λίθων μέγαν.
καὶ ἐπαύσατο Κύριος τοῦ θυμοῦ τῆς ὀργῆς·
διὰ τοῦτο ἐπωνόμασεν αὐτὸ Ἐμεκαχὼρ ἕως
τῆς ἡμέρας ταύτης.

# 8

1 ΚΑΙ εἶπε Κύριος πρὸς Ἰησοῦν· μὴ φοβηθῇς
μηδὲ δειλιάσῃς, λάβε μετὰ σοῦ πάντας τοὺς
ἄνδρας τοὺς πολεμιστὰς καὶ ἀναστὰς
ἀνάβηθι εἰς Γαί· ἰδοὺ δέδωκα εἰς τὰς χεῖράς
σου τὸν βασιλέα Γαὶ καὶ τὴν γῆν αὐτοῦ.
2 καὶ ποιήσεις τὴν Γαὶ ὃν τρόπον ἐποίησας
τὴν Ἱεριχὼ καὶ τὸν βασιλέα αὐτῆς, καὶ τὴν
προνομὴν τῶν κτηνῶν προνομεύσεις σεαυτῷ.
κατάστησον δὲ σεαυτῷ ἔνεδρα τῇ πόλει εἰς
τὰ ὀπίσω.
3 καὶ ἀνέστη Ἰησοῦς καὶ πᾶς ὁ λαὸς ὁ
πολεμιστὴς ὥστε ἀναβῆναι εἰς Γαί. ἐπέλεξε
δὲ Ἰησοῦς τριάκοντα χιλιάδας ἀνδρῶν

δυνατοὺς ἐν ἰσχύϊ καὶ ἀπέστειλεν αὐτοὺς
νυκτός.
4 καὶ ἐνετείλατο αὐτοῖς λέγων· ὑμεῖς
ἐνεδρεύσατε ὀπίσω τῆς πόλεως· μὴ μακρὰν
γίνεσθε ἀπὸ τῆς πόλεως καὶ ἔσεσθε πάντες
ἕτοιμοι.
5 καὶ ἐγὼ καὶ πάντες οἱ μετ' ἐμοῦ
προσάξομεν πρὸς τὴν πόλιν, καὶ ἔσται ὡς ἂν
ἐξέλθωσιν οἱ κατοικοῦντες Γαι εἰς
συνάντησιν ἡμῖν, καθάπερ καὶ πρῴην, καὶ
φευξόμεθα ἀπὸ προσώπου αὐτῶν.
6 καὶ ὡς ἂν ἐξέλθωσιν ὀπίσω ἡμῶν,
ἀποσπάσομεν αὐτοὺς ἀπὸ τῆς πόλεως, καὶ
ἐροῦσι· φεύγουσιν οὗτοι ἀπὸ προσώπου
ἡμῶν, ὃν τρόπον καὶ ἔμπροσθεν.
7 ὑμεῖς δὲ ἐξαναστήσεσθε ἐκ τῆς ἐνέδρας
καὶ πορεύσεσθε εἰς τὴν πόλιν.
8 κατὰ τὸ ρῆμα τοῦτο ποιήσετε· ἰδοὺ
ἐντέταλμαι ὑμῖν.
9 καὶ ἀπέστειλεν αὐτοὺς Ἰησοῦς, καὶ
ἐπορεύθησαν εἰς τὴν ἐνέδραν καὶ ἐνεκάθισαν
ἀνὰ μέσον Βαιθὴλ καὶ ἀνὰ μέσον Γαί, ἀπὸ
θαλάσσης τῆς Γαί.
10 καὶ ὀρθρίσας Ἰησοῦς τὸ πρωΐ
ἐπεσκέψατο τὸν λαόν· καὶ ἀνέβησαν αὐτὸς
καὶ οἱ πρεσβύτεροι κατὰ πρόσωπον τοῦ λαοῦ
ἐπὶ Γαί.
11 καὶ πᾶς ὁ λαὸς ὁ πολεμιστὴς μετ' αὐτοῦ
ἀνέβησαν καὶ πορευόμενοι ἦλθον ἐξεναντίας
τῆς πόλεως ἀπὸ ἀνατολῶν,
12 καὶ τὰ ἔνεδρα τῆς πόλεως ἀπὸ θαλάσσης.

14 καὶ ἐγένετο ὡς εἶδε βασιλεὺς Γαί,
ἔσπευσε καὶ ἐξῆλθεν εἰς συνάντησιν αὐτοῖς
ἐπ' εὐθείας εἰς τὸν πόλεμον, αὐτὸς καὶ πᾶς ὁ
λαὸς ὁ μετ' αὐτοῦ. καὶ αὐτὸς οὐκ ᾔδει ὅτι
ἔνεδρα αὐτῷ ἐστιν ὀπίσω τῆς πόλεως.
15 καὶ εἶδε καὶ ἀνεχώρησεν Ἰησοῦς καὶ
Ἰσραὴλ ἀπὸ προσώπου αὐτῶν.
16 καὶ κατεδίωξαν ὀπίσω τῶν υἱῶν Ἰσραὴλ
καὶ αὐτοὶ ἀπέστησαν ἀπὸ τῆς πόλεως·
17 οὐ κατελείφθη οὐδεὶς ἐν τῇ Γαί, ὃς οὐ
κατεδίωξεν ὀπίσω Ἰσραήλ· καὶ κατέλιπον
τὴν πόλιν ἠνεῳγμένην καὶ κατεδίωξαν ὀπίσω
Ἰσραήλ.
18 καὶ εἶπε Κύριος πρὸς Ἰησοῦν· ἔκτεινον
τὴν χεῖρά σου ἐν τῷ γαισῷ τῷ ἐν τῇ χειρί σου
ἐπὶ τὴν πόλιν, εἰς γὰρ τὰς χεῖράς σου
παραδέδωκα αὐτήν, καὶ τὰ ἔνεδρα
ἐξαναστήσονται ἐν τάχει ἐκ τοῦ τόπου
αὐτῶν. καὶ ἐξέτεινεν Ἰησοῦς τὴν χεῖρα
αὐτοῦ, τὸν γαισόν, ἐπὶ τὴν πόλιν,
19 καὶ τὰ ἔνεδρα ἐξανέστησαν ἐν τάχει ἐκ
τοῦ τόπου αὐτῶν καὶ ἐξήλθοσαν, ὅτε ἐξέτεινε
τὴν χεῖρα, καὶ εἰσήλθοσαν ἐπὶ τὴν πόλιν καὶ
κατελάβοντο αὐτὴν καὶ σπεύσαντες
ἐνέπρησαν τὴν πόλιν ἐν πυρί.
20 καὶ περιβλέψαντες οἱ κάτοικοι Γαὶ εἰς τὰ
ὀπίσω αὐτῶν καὶ ἐθεώρουν καπνὸν
ἀναβαίνοντα ἐκ τῆς πόλεως εἰς τὸν οὐρανόν·
καὶ οὐκ ἔτι εἶχον ποῦ φύγωσιν ὧδε ἢ ὧδε.
21 καὶ Ἰησοῦς καὶ πᾶς Ἰσραὴλ εἶδον ὅτι
ἔλαβον τὰ ἔνεδρα τὴν πόλιν καὶ ὅτι ἀνέβη ὁ

καπνὸς τῆς πόλεως εἰς τὸν οὐρανόν, καὶ
μεταβαλόμενοι ἐπάταξαν τοὺς ἄνδρας τῆς
Γαί.
22 καὶ οὗτοι ἐξήλθοσαν ἐκ τῆς πόλεως εἰς
συνάντησιν καὶ ἐγενήθησαν ἀνὰ μέσον τῆς
παρεμβολῆς, οὗτοι ἐντεῦθεν καὶ οὗτοι
ἐντεῦθεν· καὶ ἐπάταξαν αὐτοὺς ἕως τοῦ μὴ
καταλειφθῆναι αὐτῶν σεσωσμένον καὶ
διαπεφευγότα.
23 καὶ τὸν βασιλέα τῆς Γαὶ συνέλαβον
ζῶντα καὶ προσήγαγον αὐτὸν πρὸς Ἰησοῦν.
24 καὶ ὡς ἐπαύσαντο οἱ υἱοὶ Ἰσραὴλ
ἀποκτείνοντες πάντας τοὺς ἐν τῇ Γαί, τοὺς
ἐν τοῖς πεδίοις καὶ ἐν τῷ ὄρει ἐπὶ τῆς
καταβάσεως, οὗ κατεδίωξαν αὐτοὺς ἀπ'
αὐτῆς εἰς τέλος, καὶ ἐπέστρεψεν Ἰησοῦς εἰς
Γαὶ καὶ ἐπάταξεν αὐτὴν ἐν στόματι
ρομφαίας.
25 καὶ ἐγενήθησαν οἱ πεσόντες ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ ἀπὸ ἀνδρὸς καὶ ἕως γυναικὸς δώδεκα
χιλιάδες, πάντας τοὺς κατοικοῦντας Γαί,
27 πλὴν τῶν κτηνῶν καὶ τῶν σκύλων τῶν ἐν
τῇ πόλει, πάντα ἃ ἐπρονόμευσαν ἑαυτοῖς οἱ
υἱοὶ Ἰσραὴλ κατὰ πρόσταγμα Κυρίου, ὃν
τρόπον συνέταξε Κύριος τῷ Ἰησοῖ.
28 καὶ ἐνεπύρισεν Ἰησοῦς τὴν πόλιν ἐν πυρί·
χῶμα ἀοίκητον εἰς τὸν αἰῶνα ἔθηκεν αὐτὴν
ἕως τῆς ἡμέρας ταύτης.
29 καὶ τὸν βασιλέα τῆς Γαὶ ἐκρέμασεν ἐπὶ
ξύλου διδύμου, καὶ ἦν ἐπὶ τοῦ ξύλου ἕως
ἑσπέρας· καὶ ἐπιδύνοντος τοῦ ἡλίου

συνέταξεν Ἰησοῦς καὶ καθείλοσαν τὸ σῶμα αὐτοῦ ἀπὸ τοῦ ξύλου καὶ ἔρριψαν αὐτὸ εἰς τὸν βόθρον καὶ ἐπέστησαν αὐτῷ σωρὸν λίθων, ἕως τῆς ἡμέρας ταύτης.

# 9

1 ΩΣ δὲ ἤκουσαν οἱ βασιλεῖς τῶν
Ἀμορραίων οἱ ἐν τῷ πέραν τοῦ Ἰορδάνου, οἱ
ἐν τῇ ὀρεινῇ καὶ οἱ ἐν τῇ πεδινῇ καὶ οἱ ἐν
πάσῃ τῇ παραλίᾳ τῆς θαλάσσης τῆς μεγάλης
καὶ οἱ πρὸς τῷ Ἀντιλιβάνῳ καὶ οἱ Χετταῖοι
καὶ οἱ Χαναναῖοι καὶ οἱ Φερεζαῖοι καὶ οἱ
Εὐαῖοι καὶ οἱ Ἀμορραῖοι καὶ οἱ Γεργεσαῖοι
καὶ οἱ Ἰεβουσαῖοι,
2 συνήλθοσαν ἐπὶ τὸ αὐτὸ ἐκπολεμῆσαι
Ἰησοῦν καὶ Ἰσραὴλ ἅμα πάντες. 2α Τότε
ᾠκοδόμησεν Ἰησοῦς θυσιαστήριον Κυρίῳ τῷ
Θεῷ Ἰσραὴλ ἐν ὄρει Γαιβάλ, 2β καθότι
ἐνετείλατο Μωυσῆς ὁ θεράπων Κυρίου τοῖς
υἱοῖς Ἰσραήλ, καθὰ γέγραπται ἐν τῷ νόμῳ
Μωυσῆ, θυσιαστήριον λίθων ὁλοκλήρων, ἐφ'
οὓς οὐκ ἐπεβλήθη σίδηρος, καὶ ἀνεβίβασεν
ἐκεῖ ὁλοκαυτώματα Κυρίῳ καὶ θυσίαν
σωτηρίου. 2γ καὶ ἔγραψεν Ἰησοῦς ἐπὶ τῶν
λίθων τὸ δευτερονόμιον, νόμον Μωυσῆ, ὃν
ἔγραψεν ἐνώπιον τῶν υἱῶν Ἰσραὴλ 2δ καὶ
πᾶς Ἰσραὴλ καὶ οἱ πρεσβύτεροι αὐτῶν καὶ οἱ
δικασταὶ καὶ οἱ γραμματεῖς αὐτῶν
παρεπορεύοντο ἔνθεν καὶ ἔνθεν τῆς κιβωτοῦ
ἀπέναντι, καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται ᾖραν
τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου, καὶ ὁ

προσήλυτος καὶ ὁ αὐτόχθων, οἳ ἦσαν ἥμισυ
πλησίον ὄρους Γαριζίν, καὶ οἳ ἦσαν ἥμισυ
πλησίον ὄρους Γαιβάλ, καθότι ἐνετείλατο
Μωυσῆς ὁ θεράπων Κυρίου εὐλογῆσαι τὸν
λαὸν ἐν πρώτοις. 2ε καὶ μετὰ ταῦτα οὕτως
ἀνέγνω Ἰησοῦς πάντα τὰ ρήματα τοῦ νόμου
τούτου, τὰς εὐλογίας καὶ τὰς κατάρας, κατὰ
πάντα τὰ γεγραμμένα ἐν τῷ νόμῳ Μωυσῆ· 2ζ
οὐκ ἦν ρῆμα ἀπὸ πάντων ὧν ἐνετείλατο
Μωυσῆς τῷ Ἰησοῖ, ὃ οὐκ ἀνέγνω Ἰησοῦς εἰς
τὰ ὦτα πάσης ἐκκλησίας υἱῶν Ἰσραήλ, τοῖς
ἀνδράσι καὶ ταῖς γυναιξὶ καὶ τοῖς παιδίοις
καὶ τοῖς προσηλύτοις τοῖς προσπορευομένοις
τῷ Ἰσραήλ.

3 Καὶ οἱ κατοικοῦντες Γαβαὼν ἤκουσαν
πάντα, ὅσα ἐποίησε Κύριος τῇ Ἱεριχὼ καὶ τῇ
Γαί.
4 καὶ ἐποίησαν καί γε αὐτοὶ μετὰ
πανουργίας καὶ ἐλθόντες ἐπεσιτίσαντο καὶ
ἡτοιμάσαντο καὶ λαβόντες σάκκους
παλαιοὺς ἐπὶ τῶν ὄνων αὐτῶν καὶ ἀσκοὺς
οἴνου παλαιοὺς καὶ κατερρωγότας
ἀποδεδεμένους,
5 καὶ τὰ κοῖλα τῶν ὑποδημάτων αὐτῶν, καὶ
τὰ σανδάλια αὐτῶν παλαιὰ καὶ
καταπεπελματωμένα ἐν τοῖς ποσὶν αὐτῶν.
καὶ τὰ ἱμάτια αὐτῶν πεπαλαιωμένα ἐπάνω
αὐτῶν, καὶ ὁ ἄρτος αὐτῶν τοῦ ἐπισιτισμοῦ
ξηρὸς καὶ εὐρωτιῶν καὶ βεβρωμένος.
6 καὶ ἤλθοσαν πρὸς Ἰησοῦν εἰς τὴν
παρεμβολὴν Ἰσραὴλ εἰς Γάλγαλα καὶ εἶπαν

πρὸς Ἰησοῦν καὶ Ἰσραήλ· ἐκ γῆς μακρόθεν
ἥκαμεν, καὶ νῦν διάθεσθε ἡμῖν διαθήκην.
1 1 καὶ εἶπαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς τὸν
Χορραῖον· ὅρα μὴ ἐν ἐμοὶ κατοικεῖς, καὶ πῶς
σοι διαθῶμαι διαθήκην;
8 καὶ εἶπαν πρὸς Ἰησοῦν· οἰκέται σού ἐσμεν.
καὶ εἶπε πρὸς αὐτοὺς Ἰησοῦς· πόθεν ἐστὲ καὶ
πόθεν παραγεγόνατε;
9 καὶ εἶπαν· ἐκ γῆς μακρόθεν σφόδρα
ἥκασιν οἱ παῖδές σου ἐν ὀνόματι Κυρίου τοῦ
Θεοῦ σου· ἀκηκόαμεν γὰρ τὸ ὄνομα αὐτοῦ
καὶ ὅσα ἐποίησεν ἐν Αἰγύπτῳ
10 καὶ ὅσα ἐποίησε τοῖς βασιλεῦσι τῶν
Ἀμορραίων, οἳ ἦσαν πέραν τοῦ Ἰορδάνου, τῷ
Σηὼν βασιλεῖ τῶν Ἀμορραίων καὶ τῷ Ὢγ
βασιλεῖ τῆς Βασάν, ὃς κατῴκει ἐν Ἀσταρὼθ
καὶ ἐν Ἐδραΐν.
11 καὶ ἀκούσαντες εἶπαν πρὸς ἡμᾶς οἱ
πρεσβύτεροι ἡμῶν καὶ πάντες οἱ
κατοικοῦντες τὴν γῆν ἡμῶν λέγοντες· λάβετε
ἑαυτοῖς ἐπισιτισμὸν εἰς τὴν ὁδὸν καὶ
πορεύθητε εἰς συνάντησιν αὐτῶν καὶ ἐρεῖτε
πρὸς αὐτούς· οἰκέται σού ἐσμεν, καὶ νῦν
διάθεσθε ἡμῖν τὴν διαθήκην.
12 οὗτοι οἱ ἄρτοι, θερμοὺς ἐφωδιάσθημεν
αὐτοὺς ἐν τῇ ἡμέρᾳ, ᾗ ἐξήλθομεν
παραγενέσθαι πρὸς ὑμᾶς. νῦν δὲ
ἐξηράνθησαν καὶ γεγόνασι βεβρωμένοι.
13 καὶ οὗτοι οἱ ἀσκοὶ τοῦ οἴνου, οὓς
ἐπλήσαμεν καινούς, καὶ οὗτοι ἐρρώγασι· καὶ

τὰ ἱμάτια ἡμῶν καὶ τὰ ὑποδήματα ἡμῶν
πεπαλαίωται ἀπὸ τῆς πολλῆς ὁδοῦ σφόδρα.
20 καὶ ἔλαβον οἱ ἄρχοντες τοῦ ἐπισιτισμοῦ
αὐτῶν καὶ Κύριον οὐκ ἐπηρώτησαν.
21 καὶ ἐποίησεν Ἰησοῦς πρὸς αὐτοὺς
εἰρήνην καὶ διέθεντο πρὸς αὐτοὺς διαθήκην
τοῦ διασῶσαι αὐτούς, καὶ ὤμοσαν αὐτοῖς οἱ
ἄρχοντες τῆς συναγωγῆς.
22 καὶ ἐγένετο μετὰ τρεῖς ἡμέρας μετὰ τὸ
διαθέσθαι πρὸς αὐτοὺς διαθήκην, ἤκουσαν
ὅτι ἐγγύθεν αὐτῶν εἰσι, καὶ ὅτι ἐν αὐτοῖς
κατοικοῦσι.
23 καὶ ἀπῇραν οἱ υἱοὶ Ἰσραὴλ καὶ ἦλθον εἰς
τὰς πόλεις αὐτῶν· αἱ δὲ πόλεις αὐτῶν
Γαβαὼν καὶ Κεφιρὰ καὶ Βηρὼθ καὶ πόλεις
Ἰαρίν.
24 καὶ οὐκ ἐμαχέσαντο αὐτοῖς οἱ υἱοὶ
Ἰσραήλ, ὅτι ὤμοσαν αὐτοῖς πάντες οἱ
ἄρχοντες Κύριον τὸν Θεὸν Ἰσραήλ· καὶ
διεγόγγυσαν πᾶσα ἡ συναγωγὴ ἐπὶ τοῖς
ἄρχουσι.
25 καὶ εἶπαν οἱ ἄρχοντες πάσῃ τῇ
συναγωγῇ· ἡμεῖς ὠμόσαμεν αὐτοῖς Κύριον
τὸν Θεὸν Ἰσραὴλ καὶ νῦν οὐ δυνησόμεθα
ἅψασθαι αὐτῶν·
26 τοῦτο ποιήσομεν, ζωγρῆσαι αὐτούς, καὶ
περιποιησόμεθα αὐτούς, καὶ οὐκ ἔσται καθ'
ἡμῶν ὀργὴ διὰ τὸν ὅρκον, ὃν ὠμόσαμεν
αὐτοῖς·
27 ζήσονται καὶ ἔσονται ξυλοκόποι καὶ
ὑδροφόροι πάσῃ τῇ συναγωγῇ, καθάπερ εἶπαν

αὐτοῖς οἱ ἄρχοντες.
28 καὶ συνεκάλεσεν αὐτοὺς Ἰησοῦς καὶ
εἶπεν αὐτοῖς· διατί παρελογίσασθέ με
λέγοντες, μακρὰν ἀπὸ σοῦ ἐσμεν σφόδρα,
ὑμεῖς δὲ ἐγχώριοί ἐστε τῶν κατοικούντων ἐν
ἡμῖν;
29 καὶ νῦν ἐπικατάρατοί ἐστε· οὐ μὴ ἐκλίπῃ
ἐξ ὑμῶν δοῦλος οὐδὲ ξυλοκόπος οὐδὲ
ὑδροφόρος ἐμοὶ καὶ τῷ Θεῷ μου.
30 καὶ ἀπεκρίθησαν τῷ Ἰησοῖ λέγοντες·
ἀνηγγέλη ἡμῖν ὅσα συνέταξε Κύριος ὁ Θεός
σου Μωυσῇ τῷ παιδὶ αὐτοῦ, δοῦναι ὑμῖν τὴν
γῆν ταύτην καὶ ἐξολοθρεῦσαι ἡμᾶς καὶ
πάντας τοὺς κατοικοῦντας ἐπ' αὐτῆς πρὸ
προσώπου ὑμῶν, καὶ ἐφοβήθημεν σφόδρα
περὶ τῶν ψυχῶν ἡμῶν ἀπὸ προσώπου ὑμῶν
καὶ ἐποιήσαμεν τὸ πρᾶγμα τοῦτο.
31 καὶ νῦν ἰδοὺ ἡμεῖς ὑποχείριοι ὑμῖν· ὡς
ἀρέσκει ὑμῖν καὶ ὡς δοκεῖ ὑμῖν, ποιήσατε
ἡμῖν.
32 καὶ ἐποίησαν αὐτοῖς οὕτως· καὶ ἐξείλατο
αὐτοὺς Ἰησοῦς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ χειρῶν
υἱῶν Ἰσραήλ, καὶ οὐκ ἀνεῖλον αὐτούς.
33 καὶ κατέστησεν αὐτοὺς Ἰησοῦς ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ ξυλοκόπους καὶ ὑδροφόρους
πάσῃ τῇ συναγωγῇ καὶ τῷ θυσιαστηρίῳ τοῦ
Θεοῦ· διὰ τοῦτο ἐγένοντο οἱ κατοικοῦντες
Γαβαὼν ξυλοκόποι καὶ ὑδροφόροι τοῦ
θυσιαστηρίου τοῦ Θεοῦ ἕως τῆς σήμερον
ἡμέρας, καὶ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται
Κύριος.

# 10

1 ΩΣ δὲ ἤκουσεν Ἀδωνιβεζὲκ βασιλεὺς
Ἱερουσαλὴμ ὅτι ἔλαβεν Ἰησοῦς τὴν Γαὶ καὶ
ἐξωλόθρευσεν αὐτήν, ὃν τρόπον ἐποίησαν
τὴν Ἱεριχὼ καὶ τὸν βασιλέα αὐτῆς, οὕτως
ἐποίησαν καὶ τὴν Γαὶ καὶ τὸν βασιλέα αὐτῆς,
καὶ ὅτι ηὐτομόλησαν οἱ κατοικοῦντες
Γαβαὼν πρὸς Ἰησοῦν καὶ πρὸς Ἰσραήλ,
2 καὶ ἐφοβήθησαν ἀπ' αὐτῶν σφόδρα· ᾔδει
γὰρ ὅτι πόλις μεγάλη Γαβαών, ὡσεὶ μία τῶν
μητροπόλεων, καὶ πάντες οἱ ἄνδρες αὐτῆς
ἰσχυροί·
3 καὶ ἀπέστειλεν Ἀδωνιβεζὲκ βασιλεὺς
Ἱερουσαλὴμ πρὸς Ἐλὰμ βασιλέα Χεβρὼν καὶ
πρὸς Φιδὼν βασιλέα Ἱεριμοὺθ καὶ πρὸς Ἰεφθὰ
βασιλέα Λαχὶς καὶ πρὸς Δαβὶν βασιλέα
Ὀδολλὰμ λέγων·
4 δεῦτε, ἀνάβητε πρός με καὶ βοηθήσατέ μοι,
καὶ ἐκπολεμήσωμεν Γαβαών· ηὐτομόλησαν
γὰρ πρὸς Ἰησοῦν καὶ πρὸς τοὺς υἱοὺς Ἰσραήλ.
5 καὶ ἀνέβησαν οἱ πέντε βασιλεῖς τῶν
Ἰεβουσαίων, βασιλεὺς Ἱερουσαλὴμ καὶ
βασιλεὺς Χεβρὼν καὶ βασιλεὺς Ἱεριμοὺθ καὶ
βασιλεὺς Λαχὶς καὶ βασιλεὺς Ὀδολλάμ, αὐτοὶ
καὶ πᾶς ὁ λαὸς αὐτῶν καὶ περιεκάθισαν τὴν
Γαβαὼν καὶ ἐξεπολιόρκουν αὐτήν.
6 καὶ ἀπέστειλαν οἱ κατοικοῦντες Γαβαὼν
πρὸς Ἰησοῦν εἰς τὴν παρεμβολὴν Ἰσραὴλ εἰς
Γάλγαλα λέγοντες· μὴ ἐκλύσῃς τὰς χεῖράς
σου ἀπὸ τῶν παίδων σου· ἀνάβηθι πρὸς ἡμᾶς
τὸ τάχος καὶ βοήθησον ἡμῖν καὶ ἐξελοῦ ἡμᾶς·
ὅτι συνηγμένοι εἰσὶν ἐφ' ἡμᾶς πάντες οἱ

βασιλεῖς τῶν Ἀμορραίων, οἱ κατοικοῦντες
τὴν ὀρεινήν.
7 καὶ ἀνέβη Ἰησοῦς ἐκ Γαλγάλων, αὐτὸς καὶ
πᾶς ὁ λαὸς ὁ πολεμιστὴς μετ' αὐτοῦ, πᾶς
δυνατὸς ἐν ἰσχύϊ.
8 καὶ εἶπε Κύριος πρὸς Ἰησοῦν· μὴ φοβηθῇς
αὐτούς, εἰς γὰρ τὰς χεῖράς σου παραδέδωκα
αὐτούς, οὐχ ὑπολειφθήσεται ἐξ αὐτῶν οὐδεὶς
ἐνώπιον ὑμῶν.
9 καὶ ἐπεὶ παρεγένετο Ἰησοῦς ἐπ' αὐτοὺς
ἄφνω, ὅλην τὴν νύκτα εἰσεπορεύθη ἐκ
Γαλγάλων.
10 καὶ ἐξέστησεν αὐτοὺς Κύριος ἀπὸ
προσώπου τῶν υἱῶν Ἰσραήλ, καὶ συνέτριψεν
αὐτοὺς Κύριος συντρίψει μεγάλῃ ἐν Γαβαών,
καὶ κατεδίωξαν αὐτοὺς ὁδὸν ἀναβάσεως
Ὡρωνὶν καὶ κατέκοπτον αὐτοὺς ἕως Ἀζηκὰ
καὶ ἕως Μακηδά.
11 ἐν δὲ τῷ φεύγειν αὐτοὺς ἀπὸ προσώπου
τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τῆς καταβάσεως
Ὡρωνὶν καὶ Κύριος ἐπέρριψεν αὐτοῖς λίθους
χαλάζης ἐκ τοῦ οὐρανοῦ ἕως Ἀζηκά, καὶ
ἐγένοντο πλείους οἱ ἀποθανόντες διὰ τοὺς
λίθους τῆς χαλάζης ἢ οὓς ἀπέκτειναν οἱ υἱοὶ
Ἰσραὴλ μαχαίρᾳ ἐν τῷ πολέμῳ.
12 Τότε ἐλάλησεν Ἰησοῦς πρὸς Κύριον, ᾗ
ἡμέρᾳ παρέδωκεν ὁ Θεὸς τὸν Ἀμορραῖον
ὑποχείριον Ἰσραήλ, ἡνίκα συνέτριψεν αὐτοὺς
ἐν Γαβαὼν καὶ συνετρίβησαν ἀπὸ προσώπου
υἱῶν Ἰσραήλ, καὶ εἶπεν Ἰησοῦς· στήτω ὁ
ἥλιος κατὰ Γαβαὼν καὶ ἡ σελήνη κατὰ

φάραγγα Αἰλών.
13 καὶ ἔστη ὁ ἥλιος καὶ ἡ σελήνη ἐν στάσει,
ἕως ἠμύνατο ὁ Θεὸς τοὺς ἐχθροὺς αὐτῶν. καὶ
ἔστη ὁ ἥλιος κατὰ μέσον τοῦ οὐρανοῦ, οὐ
προεπορεύετο εἰς δυσμὰς εἰς τέλος ἡμέρας
μιᾶς.
14 καὶ οὐκ ἐγένετο ἡμέρα τοιαύτη οὐδὲ τὸ
πρότερον οὐδὲ τὸ ἔσχατον, ὥστε ἐπακοῦσαι
Θεὸν ἀνθρώπου, ὅτι Κύριος συνεξεπολέμησε
τῷ Ἰσραήλ.

16 Καὶ ἔφυγον οἱ πέντε βασιλεῖς οὗτοι καὶ
κατεκρύβησαν εἰς τὸ σπήλαιον τὸ ἐν
Μακηδά.
17 καὶ ἀπηγγέλη τῷ Ἰησοῦ λέγοντες·
εὕρηνται οἱ πέντε βασιλεῖς κεκρυμμένοι ἐν
τῷ σπηλαίῳ τῷ ἐν Μακηδά.
18 καὶ εἶπεν Ἰησοῦς· κυλίσατε λίθους ἐπὶ τὸ
στόμα τοῦ σπηλαίου καὶ καταστήσατε
ἄνδρας φυλάσσειν ἐπ' αὐτούς,
19 ὑμεῖς δὲ μὴ ἑστήκατε καταδιώκοντες
ὀπίσω τῶν ἐχθρῶν ὑμῶν καὶ καταλάβετε τὴν
οὐραγίαν αὐτῶν καὶ μὴ ἀφῆτε εἰσελθεῖν εἰς
τὰς πόλεις αὐτῶν· παρέδωκε γὰρ αὐτοὺς
Κύριος ὁ Θεὸς ἡμῶν εἰς τὰς χεῖρας ἡμῶν.
20 καὶ ἐγένετο ὡς κατέπαυσεν Ἰησοῦς καὶ
πᾶς υἱὸς Ἰσραὴλ κόπτοντες αὐτοὺς κοπὴν
μεγάλην σφόδρα ἕως εἰς τέλος, καὶ οἱ
διασῳζόμενοι διεσώθησαν εἰς τὰς πόλεις τὰς
ὀχυράς,
21 καὶ ἀπεστράφη πᾶς ὁ λαὸς πρὸς Ἰησοῦν
εἰς Μακηδὰ ὑγιεῖς, καὶ οὐκ ἔγρυξεν οὐδεὶς

τῶν υἱῶν Ἰσραὴλ τῇ γλώσσῃ αὐτοῦ.
22 καὶ εἶπεν Ἰησοῦς· ἀνοίξατε τὸ σπήλαιον
καὶ ἐξαγάγετε τοὺς πέντε βασιλεῖς τούτους
ἐκ τοῦ σπηλαίου.
23 καὶ ἐξηγάγοσαν τοὺς πέντε βασιλεῖς ἐκ
τοῦ σπηλαίου, τὸν βασιλέα Ἱερουσαλὴμ καὶ
τὸν βασιλέα Χεβρὼν καὶ τὸν βασιλέα
Ἱεριμοὺθ καὶ τὸν βασιλέα Λαχὶς καὶ τὸν
βασιλέα Ὀδολλάμ.
24 καὶ ἐπεὶ ἐξήγαγον αὐτοὺς πρὸς Ἰησοῦν,
καὶ συνεκάλεσεν Ἰησοῦς πάντα Ἰσραήλ, καὶ
τοὺς ἐναρχομένους τοῦ πολέμου τοὺς
συμπορευομένους αὐτῷ, λέγων αὐτοῖς·
προπορεύεσθε καὶ ἐπίθετε τοὺς πόδας ὑμῶν
ἐπὶ τοὺς τραχήλους αὐτῶν. καὶ
προσελθόντες ἐπέθηκαν τοὺς πόδας αὐτῶν
ἐπὶ τοὺς τραχήλους αὐτῶν.
25 καὶ εἶπεν Ἰησοῦς πρὸς αὐτούς· μὴ
φοβηθῆτε αὐτοὺς μηδὲ δειλιάσητε·
ἀνδρίζεσθε καὶ ἰσχύετε, ὅτι οὕτω ποιήσει
Κύριος πᾶσι τοῖς ἐχθροῖς ὑμῶν, οὓς ὑμεῖς
καταπολεμεῖτε αὐτούς.
26 καὶ ἀπέκτεινεν αὐτοὺς Ἰησοῦς καὶ
ἐκρέμασεν αὐτοὺς ἐπὶ πέντε ξύλων, καὶ ἦσαν
κρεμάμενοι ἐπὶ τῶν ξύλων ἕως ἑσπέρας.
27 καὶ ἐγενήθη πρὸς ἡλίου δυσμὰς
ἐνετείλατο Ἰησοῦς καὶ καθεῖλον αὐτοὺς ἀπὸ
τῶν ξύλων καὶ ἔρριψαν αὐτοὺς εἰς τὸ
σπήλαιον, εἰς ὃ κατεφύγοσαν ἐκεῖ, καὶ
ἐπεκύλισαν λίθους ἐπὶ τὸ σπήλαιον ἕως τῆς
σήμερον ἡμέρας.

28 Καὶ τὴν Μακηδὰ ἐλάβοσαν ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ καὶ ἐφόνευσαν αὐτὴν ἐν στόματι
ξίφους καὶ ἐξωλόθρευσαν πᾶν ἐμπνέον, ὃ ἦν
ἐν αὐτῇ, καὶ οὐ κατελείφθη οὐδεὶς ἐν αὐτῇ
διασεσωσμένος καὶ διαπεφευγώς· καὶ
ἐποίησαν τῷ βασιλεῖ Μακηδὰ ὃν τρόπον
ἐποίησαν τῷ βασιλεῖ Ἱεριχώ.
29 καὶ ἀπῆλθεν Ἰησοῦς καὶ πᾶς Ἰσραὴλ μετ'
αὐτοῦ ἐκ Μακηδὰ εἰς Λεβνὰ καὶ ἐπολιόρκει
Λεβνά.
30 καὶ παρέδωκεν αὐτὴν Κύριος εἰς χεῖρας
Ἰσραήλ, καὶ ἔλαβον αὐτὴν καὶ τὸν βασιλέα
αὐτῆς καὶ ἐφόνευσαν αὐτὴν ἐν στόματι
ξίφους καὶ πᾶν ἐμπνέον ἐν αὐτῇ, καὶ οὐ
κατελείφθη ἐν αὐτῇ διασεσωσμένος καὶ
διαπεφευγώς· καὶ ἐποίησαν τῷ βασιλεῖ αὐτῆς
ὃν τρόπον ἐποίησαν τῷ βασιλεῖ Ἱεριχώ.

31 καὶ ἀπῆλθεν Ἰησοῦς καὶ πᾶς Ἰσραὴλ μετ'
αὐτοῦ ἐκ Λεβνὰ εἰς Λαχὶς καὶ περιεκάθισεν
αὐτὴν καὶ ἐπολιόρκει αὐτήν.
32 καὶ παρέδωκε Κύριος τὴν Λαχὶς εἰς τὰς
χεῖρας Ἰσραήλ, καὶ ἔλαβεν αὐτὴν ἐν τῇ ἡμέρᾳ
τῇ δευτέρᾳ καὶ ἐφόνευσαν αὐτὴν ἐν στόματι
ξίφους καὶ ἐξωλόθρευσαν αὐτήν, ὃν τρόπον
ἐποίησαν τὴν Λεβνά.
33 τότε ἀνέβη Ἐλὰμ βασιλεὺς Γαζὲρ
βοηθήσων τῇ Λαχίς, καὶ ἐπάταξεν αὐτὸν
Ἰησοῦς ἐν στόματι ξίφους καὶ τὸν λαὸν
αὐτοῦ ἕως τοῦ μὴ καταλειφθῆναι αὐτῶν
σεσωσμένον καὶ διαπεφευγότα.
34 καὶ ἀπῆλθεν Ἰησοῦς καὶ πᾶς Ἰσραὴλ μετ'

αὐτοῦ ἐκ Λαχὶς εἰς Ὀδολλὰμ καὶ
περιεκάθισεν αὐτὴν καὶ ἐξεπολιόρκησεν
αὐτήν.
35 καὶ παρέδωκεν αὐτὴν Κύριος ἐν χειρὶ
Ἰσραήλ, καὶ ἔλαβεν αὐτὴν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
καὶ ἐφόνευσεν αὐτὴν ἐν στόματι ξίφους, καὶ
πᾶν ἐμπνέον ἐν αὐτῇ ἐφόνευσαν, ὃν τρόπον
ἐποίησαν τῇ Λαχίς.
36 καὶ ἀπῆλθεν Ἰησοῦς καὶ πᾶς Ἰσραὴλ μετ'
αὐτοῦ εἰς Χεβρὼν καὶ περιεκάθισεν αὐτήν.
37 καὶ ἐπάταξεν αὐτὴν ἐν στόματι ξίφους
καὶ πᾶν τὸ ἐμπνέον, ὅσα ἦν ἐν αὐτῇ, οὐκ ἦν
διασεσωσμένος· ὃν τρόπον ἐποίησαν τὴν
Ὀδολλάμ, ἐξωλόθρευσαν αὐτὴν καὶ ὅσα ἦν ἐν
αὐτῇ.
38 καὶ ἀπέστρεψεν Ἰησοῦς καὶ πᾶς Ἰσραὴλ
εἰς Δαβὶρ καὶ περικαθίσαντες αὐτὴν
39 ἔλαβον αὐτὴν καὶ τὸν βασιλέα αὐτῆς καὶ
τὰς κώμας αὐτῆς καὶ ἐπάταξεν αὐτὴν ἐν
στόματι ξίφους καὶ ἐξωλόθρευσαν αὐτὴν καὶ
πᾶν ἐμπνέον ἐν αὐτῇ καὶ οὐ κατέλιπον αὐτῇ
οὐδένα διασεσωσμένον· ὃν τρόπον ἐποίησαν
τῇ Χεβρὼν καὶ τῷ βασιλεῖ αὐτῆς, οὕτως
ἐποίησαν τῇ Δαβὶρ καὶ τῷ βασιλεῖ αὐτῆς.
40 καὶ ἐπάταξεν Ἰησοῦς πᾶσαν τὴν γῆν τῆς
ὀρεινῆς καὶ τὴν Ναγὲβ καὶ τὴν πεδινὴν καὶ
τὴν Ἀσηδὼθ καὶ τοὺς βασιλεῖς αὐτῆς, οὐ
κατέλιπον αὐτῶν σεσωσμένον· καὶ πᾶν
ἐμπνέον ζωῆς ἐξωλόθρευσεν, ὃν τρόπον
ἐνετείλατο Κύριος ὁ Θεὸς Ἰσραήλ,
41 ἀπὸ Κάδης Βαρνῆ ἕως Γάζης, πᾶσαν τὴν

Γοσὸμ ἕως τῆς Γαβαών,
42 καὶ πάντας τοὺς βασιλεῖς αὐτῶν καὶ τὴν
γῆν αὐτῶν ἐπάταξεν Ἰησοῦς εἰσάπαξ, ὅτι
Κύριος ὁ Θεὸς Ἰσραὴλ συνεπολέμει τῷ
Ἰσραήλ.

# 11

1 ΩΣ δὲ ἤκουσεν Ἰαβὶν βασιλεὺς Ἀσώρ,
ἀπέστειλε πρὸς Ἰαβὰβ βασιλέα Μαρὼν καὶ
πρὸς βασιλέα Συμοὼν καὶ πρὸς βασιλέα Ἀζίφ
2 καὶ πρὸς βασιλεῖς τοὺς κατὰ Σιδῶνα τὴν
μεγάλην, εἰς τὴν ὀρεινὴν καὶ εἰς Ἄραβα
ἀπέναντι Κενερὼθ καὶ εἰς τὸ πεδίον καὶ εἰς
Φεναεδδὼρ
3 καὶ εἰς τοὺς παραλίους Χαναναίους ἀπὸ
ἀνατολῶν καὶ εἰς τοὺς παραλίους
Ἀμορραίους καὶ τοὺς Χετταίους καὶ
Φερεζαίους καὶ Ἰεβουσαίους τοὺς ἐν τῷ ὄρει
καὶ τοὺς Εὐαίους καὶ τοὺς ὑπὸ τὴν Ἀερμὼν
εἰς γῆν Μασσηφά.
4 καὶ ἐξῆλθον αὐτοὶ καὶ οἱ βασιλεῖς αὐτῶν
μετ' αὐτῶν, ὥσπερ ἡ ἄμμος τῆς θαλάσσης τῷ
πλήθει, καὶ ἵπποι καὶ ἅρματα πολλὰ σφόδρα.
5 καὶ συνῆλθον πάντες οἱ βασιλεῖς αὐτοὶ
καὶ παρεγένοντο ἐπὶ τὸ αὐτὸ καὶ
παρενέβαλον ἐπὶ τοῦ ὕδατος Μαρὼν
πολεμῆσαι τὸν Ἰσραήλ.
6 καὶ εἶπε Κύριος πρὸς Ἰησοῦν· μὴ φοβηθῇς
ἀπὸ προσώπου αὐτῶν, ὅτι αὔριον ταύτην τὴν
ὥραν ἐγὼ παραδίδωμι τετροπωμένους
αὐτοὺς ἐναντίον τοῦ Ἰσραήλ· τοὺς ἵππους

αὐτῶν νευροκοπήσεις καὶ τὰ ἅρματα αὐτῶν
κατακαύσεις ἐν πυρί.
7 καὶ ἦλθεν Ἰησοῦς καὶ πᾶς ὁ λαὸς ὁ
πολεμιστὴς ἐπ' αὐτοὺς ἐπὶ τὸ ὕδωρ Μαρὼν
ἐξάπινα καὶ ἐπέπεσαν ἐπ' αὐτοὺς ἐν τῇ
ὀρεινῇ.
8 καὶ παρέδωκεν αὐτοὺς Κύριος
ὑποχειρίους Ἰσραήλ, καὶ κόπτοντες αὐτοὺς
κατεδίωκον ἕως Σιδῶνος τῆς μεγάλης καὶ
ἕως Μασερὼν καὶ ἕως τῶν πεδίων Μασσὼχ
κατ' ἀνατολὰς καὶ κατέκοψαν αὐτοὺς ἕως
τοῦ μὴ καταλειφθῆναι αὐτῶν
διασεσωσμένον.
9 καὶ ἐποίησεν αὐτοῖς Ἰησοῦς ὃν τρόπον
ἐνετείλατο αὐτῷ Κύριος· τοὺς ἵππους αὐτῶν
ἐνευροκόπησε καὶ τὰ ἅρματα αὐτῶν
ἐνέπρησε πυρί.

10 Καὶ ἀπεστράφη Ἰησοῦς ἐν τῷ καιρῷ
ἐκείνῳ καὶ κατελάβετο Ἀσὼρ καὶ τὸν
βασιλέα αὐτῆς· ἦν δὲ Ἀσὼρ τὸ πρότερον
ἄρχουσα πασῶν τῶν βασιλειῶν τούτων.
11 καὶ ἀπέκτειναν πᾶν ἐμπνέον ἐν αὐτῇ ἐν
ξίφει καὶ ἐξωλόθρευσαν πάντας, καὶ οὐ
κατελείφθη ἐν αὐτῇ ἐμπνέον· καὶ τὴν Ἀσὼρ
ἐνέπρησαν ἐν πυρί.
12 καὶ πάσας τὰς πόλεις τῶν βασιλειῶν καὶ
τοὺς βασιλεῖς αὐτῶν ἔλαβεν Ἰησοῦς καὶ
ἀνεῖλεν αὐτοὺς ἐν στόματι ξίφους, καὶ
ἐξωλόθρευσαν αὐτούς, ὃν τρόπον συνέταξε
Μωυσῆς ὁ παῖς Κυρίου.
13 ἀλλὰ πάσας τὰς πόλεις τὰς

κεχωματισμένας οὐκ ἐνέπρησεν Ἰσραήλ,
πλὴν Ἀσὼρ μόνην ἐνέπρησεν Ἰσραὴλ
14 καὶ πάντα τὰ σκῦλα αὐτῆς ἐπρονόμευσαν
ἑαυτοῖς οἱ υἱοὶ Ἰσραήλ, αὐτοὺς δὲ πάντας
ἐξωλόθρευσαν ἐν στόματι ξίφους, ἕως
ἀπώλεσεν αὐτούς, οὐ κατέλιπον ἐξ αὐτῶν
οὐδὲν ἐμπνέον.
15 ὃν τρόπον συνέταξε Κύριος τῷ Μωυσῇ
τῷ παιδὶ αὐτοῦ, καὶ Μωυσῆς ὡσαύτως
ἐνετείλατο τῷ Ἰησοῖ, καὶ οὕτως ἐποίησεν
Ἰησοῦς· οὐ παρέβη οὐδὲν ἀπὸ πάντων, ὧν
συνέταξεν αὐτῷ Μωυσῆς.

16 Καὶ ἔλαβεν Ἰησοῦς πᾶσαν τὴν γῆν τὴν
ὀρεινὴν καὶ πᾶσαν τὴν γῆν Ναγὲβ καὶ πᾶσαν
τὴν γῆν Γοσὸμ καὶ τὴν πεδινὴν καὶ τὴν πρὸς
δυσμαῖς καὶ τὸ ὄρος Ἰσραὴλ καὶ τὰ ταπεινὰ
τὰ πρὸς τῷ ὄρει
17 ἀπὸ ὄρους Χελχὰ καὶ ὃ προσαναβαίνει
εἰς Σηεὶρ καὶ ἕως Βααλγὰδ καὶ τὰ πεδία τοῦ
Λιβάνου ὑπὸ τὸ ὄρος τὸ Ἀερμὼν καὶ πάντας
τοὺς βασιλεῖς αὐτῶν ἔλαβε καὶ ἀνεῖλε καὶ
ἀπέκτεινε.
18 καὶ ἡμέρας πλείους ἐποίησεν Ἰησοῦς
πρὸς τοὺς βασιλεῖς τούτους τὸν πόλεμον,
19 καὶ οὐκ ἦν πόλις, ἣν οὐκ ἔλαβεν Ἰσραήλ,
πάντα ἐλάβοσαν ἐν πολέμῳ.
20 ὅτι διὰ Κυρίου ἐγένετο κατισχῦσαι
αὐτῶν τὴν καρδίαν συναντᾶν εἰς πόλεμον
πρὸς Ἰσραήλ, ἵνα ἐξολοθρευθῶσιν, ὅπως μὴ
δοθῇ αὐτοῖς ἔλεος, ἀλλ' ἵνα ἐξολοθρευθῶσιν,
ὃν τρόπον εἶπε Κύριος πρὸς Μωυσῆν.

21 Καὶ ἦλθεν Ἰησοῦς ἐν τῷ καιρῷ ἐκείνῳ
καὶ ἐξωλόθρευσε τοὺς Ἐνακὶμ ἐκ τῆς
ὀρεινῆς, ἐκ Χεβρὼν καὶ ἐκ Δαβὶρ καὶ ἐξ
Ἀναβὼθ καὶ ἐκ παντὸς γένους Ἰσραὴλ καὶ ἐκ
παντὸς ὄρους Ἰούδα σὺν ταῖς πόλεσιν αὐτῶν,
καὶ ἐξωλόθρευσεν αὐτοὺς Ἰησοῦς.
22 οὐ κατελείφθη τῶν Ἐνακὶμ ἀπὸ τῶν υἱῶν
Ἰσραήλ, ἀλλὰ πλὴν ἐν Γάζῃ καὶ ἐν Γὲθ καὶ ἐν
Ἀσεδὼθ κατελείφθη.
23 καὶ ἔλαβεν Ἰησοῦς πᾶσαν τὴν γῆν,
καθότι ἐνετείλατο Κύριος τῷ Μωυσῇ καὶ
ἔδωκεν αὐτοὺς Ἰησοῦς ἐν κληρονομίᾳ Ἰσραὴλ
ἐν μερισμῷ κατὰ φυλὰς αὐτῶν. καὶ ἡ γῆ
κατέπαυσε πολεμουμένη.

# 12

1 ΚΑΙ οὗτοι οἱ βασιλεῖς τῆς γῆς, οὓς
ἀνεῖλον οἱ υἱοὶ Ἰσραὴλ καὶ
κατεκληρονόμησαν τὴν γῆν αὐτῶν πέραν τοῦ
Ἰορδάνου ἀφ' ἡλίου ἀνατολῶν ἀπὸ φάραγγος
Ἀρνῶν ἕως τοῦ ὄρους Ἀερμὼν καὶ πᾶσαν τὴν
γῆν Ἄραβα ἀπ' ἀνατολῶν·
2 Σηὼν τὸν βασιλέα τῶν Ἀμορραίων, ὃς
κατῴκει ἐν Ἐσεβὼν κυριεύων ἀπὸ Ἀροήρ, ἥ
ἐστιν ἐν τῇ φάραγγι, κατὰ μέρος τῆς
φάραγγος, καὶ τὸ ἥμισυ τῆς Γαλαὰδ ἕως
Ἰαβόκ, ὅρια υἱῶν Ἀμμών,
3 καὶ Ἄραβα ἕως τῆς θαλάσσης Χενερὲθ
κατ' ἀνατολὰς καὶ ἕως τῆς θαλάσσης Ἄραβα,
θάλασσαν τῶν ἁλῶν ἀπὸ ἀνατολῶν, ὁδὸν
τὴν κατὰ Ἀσειμώθ, ἀπὸ Θαιμὰν τὴν ὑπὸ
Ἀσηδὼθ Φασγά·

4 καὶ Ὢγ βασιλεὺς Βασὰν ὑπελείφθη ἐκ
τῶν γιγάντων ὁ κατοικῶν ἐν Ἀσταρὼθ καὶ ἐν
Ἐδραΐν,
5 ἄρχων ἀπὸ ὄρους Ἀερμὼν καὶ ἀπὸ Σελχοὶ
καὶ πᾶσαν τὴν γῆν Βασὰν ἕως ὁρίων Γεσουρὶ
καὶ τὴν Μαχὶ καὶ τὸ ἥμισυ Γαλαὰδ ὁρίων
Σηὼν βασιλέως Ἐσεβών.
6 Μωυσῆς ὁ παῖς Κυρίου καὶ υἱοὶ Ἰσραὴλ
ἐπάταξαν αὐτούς, καὶ ἔδωκεν αὐτὴν Μωυσῆς
ἐν κληρονομίᾳ Ρουβὴν καὶ Γὰδ καὶ τῷ ἡμίσει
φυλῆς Μανασσῇ.

7 Καὶ οὗτοι οἱ βασιλεῖς τῶν Ἀμορραίων, οὓς
ἀνεῖλεν Ἰησοῦς καὶ υἱοὶ Ἰσραὴλ ἐν τῷ πέραν
τοῦ Ἰορδάνου παρὰ θάλασσαν Βααλγὰδ ἐν
τῷ πεδίῳ τοῦ Λιβάνου καὶ ἕως ὄρους τοῦ
Χελχὰ ἀναβαινόντων εἰς Σηείρ, καὶ ἔδωκεν
αὐτὴν Ἰησοῦς ταῖς φυλαῖς Ἰσραὴλ
κληρονομεῖν κατὰ κλῆρον αὐτῶν,
8 ἐν τῷ ὄρει καὶ ἐν τῷ πεδίῳ καὶ ἐν Ἄραβα
καὶ ἐν Ἀσηδὼθ καὶ ἐν τῇ ἐρήμῳ καὶ Ναγέβ,
τὸν Χετταῖον καὶ τὸν Ἀμορραῖον καὶ τὸν
Χαναναῖον καὶ τὸν Φερεζαῖον καὶ τὸν Εὐαῖον
καὶ τὸν Ἰεβουσαῖον·
9 τὸν βασιλέα Ἱεριχὼ καὶ τὸν βασιλέα τῆς
Γαί, ἥ ἐστι πλησίον Βαιθήλ,
10 βασιλέα Ἱερουσαλήμ, βασιλέα Χεβρών,
11 βασιλέα Ἱεριμούθ, βασιλέα Λαχίς,
12 βασιλέα Αἰλάμ, βασιλέα Γαζέρ,
13 βασιλέα Δαβίρ, βασιλέα Γαδέρ,
14 βασιλέα Ἑρμάθ, βασιλέα Ἀράθ,
15 βασιλέα Λεβνά, βασιλέα Ὀδολλάμ,

16 βασιλέα Ἠλάθ,
17 βασιλέα Ταφούγ, βασιλέα Ὀφέρ,
18 βασιλέα Ἀφὲκ τῆς Σαρών, βασιλέα Ἀσώρ,
βασιλέα Συμοών, βασιλέα Μαρών, βασιλέα
Ἀζίφ, βασιλέα Κάδης, βασιλέα Τανάχ,
βασιλέα Μαγεδών, βασιλέα Ἰεκονὰμ τοῦ
Χερμέλ,
23 βασιλέα Δὼρ τοῦ Ναφεδδώρ, βασιλέα
Γωΐμ τῆς Γαλιλαίας,
24 βασιλέα Θαρσά· πάντες οὗτοι βασιλεῖς
εἴκοσιν ἐννέα.

# 13

1 ΚΑΙ Ἰησοῦς πρεσβύτερος προβεβηκὼς τῶν
ἡμερῶν. καὶ εἶπε Κύριος πρὸς Ἰησοῦν· σὺ
προβέβηκας τῶν ἡμερῶν, καὶ ἡ γῆ
ὑπολέλειπται πολλὴ εἰς κληρονομίαν.
2 καὶ αὕτη ἡ γῆ καταλελειμμένη· ὅρια
Φυλιστιείμ, ὁ Γεσιρὶ καὶ ὁ Χαναναῖος·
3 ἀπὸ τῆς ἀοικήτου τῆς κατὰ πρόσωπον
Αἰγύπτου ἕως τῶν ὁρίων Ἀκκαρὼν ἐξ
εὐωνύμων τῶν Χαναναίων προσλογίζεται
ταῖς πέντε σατραπείαις τῶν Φυλιστιείμ, τῷ
Γαζαίῳ καὶ τῷ Ἀζωτίῳ καὶ τῷ Ἀσκαλωνίτῃ
καὶ τῷ Γετθαίῳ καὶ τῷ Ἀκκαρωνίτῃ· καὶ τῷ
Εὐαίῳ
4 ἐκ Θαιμὰν καὶ πάσῃ γῇ Χαναὰν ἐναντίον
Γάζης, καὶ οἱ Σιδώνιοι ἕως Ἀφέκ, ἕως τῶν
ὁρίων τῶν Ἀμορραίων,
5 καὶ πᾶσαν τὴν γῆν Γαβλὶ Φυλιστιείμ· καὶ
πάντα τὸν Λίβανον ἀπὸ ἀνατολῶν ἡλίου, ἀπὸ

Γαλγὰλ ὑπὸ τὸ ὄρος τὸ Ἀερμὼν ἕως τῆς
εἰσόδου Ἐμάθ·
6 πᾶς ὁ κατοικῶν τὴν ὀρεινὴν ἀπὸ τοῦ
Λιβάνου ἕως τῆς Μασερεφωθαίμ, πάντας
τοὺς Σιδωνίους, ἐγὼ αὐτοὺς ἐξολοθρεύσω
ἀπὸ προσώπου Ἰσραήλ· ἀλλὰ διάδος αὐτὴν ἐν
κλήρῳ τῷ Ἰσραήλ, ὃν τρόπον σοι
ἐνετειλάμην.
7 καὶ νῦν μέρισον τὴν γῆν ταύτην ἐν
κληρονομίᾳ ταῖς ἐννέα φυλαῖς καὶ τῷ ἡμίσει
φυλῆς Μανασσῆ· ἀπὸ τοῦ Ἰορδάνου ἕως τῆς
θαλάσσης τῆς μεγάλης κατὰ δυσμὰς ἡλίου
δώσεις αὐτήν, ἡ θάλασσα ἡ μεγάλη ὁριεῖ.
8 ταῖς δυσὶ φυλαῖς καὶ τῷ ἡμίσει φυλῆς
Μανασσῆ, τῷ Ρουβὴν καὶ τῷ Γάδ, ἔδωκε
Μωυσῆς ἐν τῷ πέραν τοῦ Ἰορδάνου· κατ'
ἀνατολὰς ἡλίου δέδωκεν αὐτὴν Μωυσῆς ὁ
παῖς Κυρίου,
9 ἀπὸ Ἀροήρ, ἥ ἐστιν ἐπὶ τοῦ χείλους
χειμάρρου Ἀρνῶν, καὶ τὴν πόλιν τὴν ἐν μέσῳ
τῆς φάραγγος καὶ πᾶσαν τὴν Μισὼρ ἀπὸ
Μαιδαβὰ ἕως Δαιβάν,
10 πάσας τὰς πόλεις Σηὼν βασιλέως
Ἀμορραίων, ὃς ἐβασίλευσεν ἐν Ἐσεβών, ἕως
τῶν ὁρίων υἱῶν Ἀμμῶν,
11 καὶ τὴν Γαλααδίτιδα καὶ τὰ ὅρια Γεσιρὶ
καὶ τοῦ Μαχατί, πᾶν ὄρος Ἀερμὼν καὶ πᾶσαν
τὴν Βασανίτιν ἕως Σελλά,
12 πᾶσαν τὴν βασιλείαν Ὢγ ἐν τῇ
Βασανίτιδι, ὃς ἐβασίλευσεν ἐν Ἀσταρὼθ καὶ
ἐν Ἐδραΐν· οὗτος κατελείφθη ἀπὸ τῶν

γιγάντων, καὶ ἐπάταξεν αὐτὸν Μωυσῆς καὶ
ἐξωλόθρευσε.
13 καὶ οὐκ ἐξωλόθρευσαν οἱ υἱοὶ Ἰσραὴλ τὸν
Γεσιρὶ καὶ τὸν Μαχατὶ καὶ τὸν Χαναναῖον,
καὶ κατῴκει βασιλεὺς Γεσιρὶ καὶ ὁ Μαχατὶ ἐν
τοῖς υἱοῖς Ἰσραὴλ ἕως τῆς σήμερον ἡμέρας.
14 πλὴν τῆς φυλῆς Λευὶ οὐκ ἐδόθη
κληρονομία· Κύριος ὁ Θεὸς Ἰσραήλ, οὗτος
κληρονομία αὐτῶν, καθὰ εἶπεν αὐτοῖς
Κύριος. καὶ οὗτος ὁ καταμερισμός, ὃν
κατεμέρισε Μωυσῆς τοῖς υἱοῖς Ἰσραὴλ ἐν
Ἀραβὼθ Μωὰβ ἐν τῷ πέραν τοῦ Ἰορδάνου
κατὰ Ἱεριχώ.

15 Καὶ ἔδωκε Μωυσῆς τῇ φυλῇ Ρουβὴν κατὰ
δήμους αὐτῶν.
16 καὶ ἐγενήθη αὐτῶν τὰ ὅρια ἀπὸ Ἀροήρ, ἥ
ἐστι κατὰ πρόσωπον φάραγγος Ἀρνῶν, καὶ ἡ
πόλις ἡ ἐν τῇ φάραγγι Ἀρνῶν. καὶ πᾶσαν τὴν
Μισὼρ ἕως Ἐσεβὼν
17 καὶ πάσας τὰς πόλεις τὰς οὔσας ἐν τῇ
Μισὼρ καὶ Δαιβὼν καὶ Βαμωθβάαλ καὶ οἴκου
Βεελμὼν
18 καὶ Ἰασσὰ καὶ Κεδημὼθ καὶ Μεφαὰθ
19 καὶ Καριαθαὶμ καὶ Σεβαμὰ καὶ Σεραδὰ
καὶ Σιὼρ ἐν τῷ ὄρει Ἐμὰκ
20 καὶ Βαιθφογὸρ καὶ Ἀσηδὼθ Φασγὰ καὶ
Βαιθασειμὼθ
21 καὶ πάσας τὰς πόλεις τοῦ Μισὼρ καὶ
πᾶσαν τὴν βασιλείαν τοῦ Σηὼν βασιλέως
τῶν Ἀμορραίων, ὃν ἐπάταξε Μωυσῆς αὐτὸν
καὶ τοὺς ἡγουμένους Μαδιὰμ καὶ τὸν Εὐὶ καὶ

τὸν Ροκὸμ καὶ τὸν Σοὺρ καὶ τὸν Οὔρ καὶ τὸν
Ροβὲ ἄρχοντας παρὰ Σηὼν καὶ τοὺς
κατοικοῦντας τὴν γῆν.
22 καὶ τὸν Βαλαὰμ τὸν τοῦ Βεώρ, τὸν
μάντιν, ἀπέκτειναν ἐν τῇ ροπῇ.
23 ἐγένετο δὲ τὰ ὅρια Ρουβήν· Ἰορδάνης
ὅριον, αὕτη ἡ κληρονομία υἱῶν Ρουβὴν κατὰ
δήμους αὐτῶν, αἱ πόλεις αὐτῶν καὶ αἱ
ἐπαύλεις αὐτῶν.
24 ἔδωκε δὲ Μωυσῆς τοῖς υἱοῖς Γὰδ κατὰ
δήμους αὐτῶν.
25 καὶ ἐγένετο τὰ ὅρια αὐτῶν Ἰαζήρ, πᾶσαι
πόλεις Γαλαὰδ καὶ τὸ ἥμισυ γῆς υἱῶν Ἀμμῶν
ἕως Ἀροήρ, ἥ ἐστι κατὰ πρόσωπον Ραββά,
26 καὶ ἀπὸ Ἐσεβὼν ἕως Ραμὼθ κατὰ τὴν
Μασσηφὰ καὶ Βοτανὶμ καὶ Μααναΐν ἕως τῶν
ὁρίων Δαβίρ,
27 καὶ Ἐμὲκ Βαιθαρὰμ Βανθαναβρὰ καὶ
Σοκχωθὰ καὶ Σαφὰν καὶ τὴν λοιπὴν
βασιλείαν Σηὼν βασιλέως Ἐσεβών, καὶ ὁ
Ἰορδάνης ὁριεῖ ἕως μέρους τῆς θαλάσσης
Χενερὲθ πέραν τοῦ Ἰορδάνου ἀπ' ἀνατολῶν.
28 αὕτη ἡ κληρονομία υἱῶν Γὰδ κατὰ
δήμους αὐτῶν, αἱ πόλεις αὐτῶν καὶ αἱ
ἐπαύλεις αὐτῶν.
29 καὶ ἔδωκε Μωυσῆς τῷ ἡμίσει φυλῆς
Μανασσῆ κατὰ δήμους αὐτῶν.
30 καὶ ἐγένετο τὰ ὅρια αὐτῶν ἀπὸ Μααναΐμ
καὶ πᾶσα βασιλεία Βασανὶ καὶ πᾶσα
βασιλεία Ὢγ βασιλέως τῆς Βασὰν καὶ πάσας
τὰς κώμας Ἰαΐρ, αἵ εἰσιν ἐν τῇ Νασανίτιδι,

ἑξήκοντα πόλεις,
31 καὶ τὸ ἥμισυ τῆς Γαλαὰδ καὶ ἐν Ἀσταρὼθ
καὶ ἐν Ἐδραΐν, πόλεις βασιλείας Ὢγ ἐν τῇ
Βασανίτιδι καὶ ἐδόθησαν τοῖς υἱοῖς Μαχὶρ
υἱοῦ Μανασσῆ, κατὰ δήμους αὐτῶν.
32 οὗτοι οὓς κατεκληρονόμησε Μωυσῆς
πέραν τοῦ Ἰορδάνου ἐν Ἀραβὼθ Μωὰβ ἐν τῷ
πέραν τοῦ Ἰορδάνου τοῦ κατὰ Ἱεριχὼ ἀπ'
ἀνατολῶν.

# 14

1 ΚΑΙ οὗτοι οἱ κατακληρονομήσαντες υἱῶν
Ἰσραὴλ ἐν τῇ γῇ Χαναάν, οἷς
κατεκληρονόμησαν αὐτοῖς Ἐλεάζαρ ὁ ἱερεὺς
καὶ Ἰησοῦς ὁ τοῦ Ναυὴ καὶ οἱ ἄρχοντες
πατριῶν φυλῶν τῶν υἱῶν Ἰσραήλ.
2 κατὰ κλήρους ἐκληρονόμησαν, ὃν τρόπον
ἐνετείλατο Κύριος ἐν χειρὶ Ἰησοῦ ταῖς ἐννέα
φυλαῖς καὶ τῷ ἡμίσει φυλῆς ἀπὸ τοῦ πέραν
τοῦ Ἰορδάνου,
3 καὶ τοῖς Λευίταις οὐκ ἔδωκε κλῆρον ἐν
αὐτοῖς,
4 ὅτι ἦσαν οἱ υἱοὶ Ἰωσὴφ δύο φυλαὶ
Μανασσῆ καὶ Ἐφραίμ, καὶ οὐκ ἐδόθη μερὶς ἐν
τῇ γῇ τοῖς Λευίταις, ἀλλ' ἢ πόλεις κατοικεῖν
καὶ τὰ ἀφωρισμένα αὐτῶν τοῖς κτήνεσι καὶ
τὰ κτήνη αὐτῶν.
5 ὃν τρόπον ἐνετείλατο Κύριος τῷ Μωυσῇ,
οὕτως ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ καὶ ἐμέρισαν
τὴν γῆν.

6 Καὶ προσήλθοσαν οἱ υἱοὶ Ἰούδα πρὸς
Ἰησοῦν ἐν Γαλγάλ, καὶ εἶπε πρὸς αὐτὸν
Χάλεβ ὁ τοῦ Ἰεφονὴ ὁ Κενεζαῖος· σὺ ἐπίστῃ
τὸ ρῆμα, ὃ ἐλάλησε Κύριος πρὸς Μωυσῆν
ἄνθρωπον τοῦ Θεοῦ περὶ ἐμοῦ καὶ σοῦ ἐν
Κάδης Βαρνή·
7 τεσσαράκοντα γὰρ ἐτῶν ἤμην ὅτε
ἀπέστειλέ με Μωυσῆς ὁ παῖς τοῦ Θεοῦ ἐκ
Κάδης Βαρνὴ κατασκοπεῦσαι τὴν γῆν, καὶ
ἀπεκρίθην αὐτῷ λόγον κατὰ τὸν νοῦν αὐτοῦ,
8 οἱ ἀδελφοί μου οἱ ἀναβάντες μετ' ἐμοῦ
μετέστησαν τὴν καρδίαν τοῦ λαοῦ, ἐγὼ δὲ
προσετέθην ἐπακολουθῆσαι Κυρίῳ τῷ Θεῷ
μου,
9 καὶ ὤμοσε Μωυσῆς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ
λέγων· ἡ γῆ, ἐφ' ἣν ἐπέβης, σοὶ ἔσται ἐν
κλήρῳ καὶ τοῖς τέκνοις σου εἰς τὸν αἰῶνα,
ὅτι προσετέθης ἐπακολουθῆσαι ὀπίσω Κυρίου
τοῦ Θεοῦ ἡμῶν.
10 καὶ νῦν διέθρεψέ με Κύριος, ὃν τρόπον
εἶπε, τοῦτο τεσσαρακοστὸν καὶ πέμπτον
ἔτος, ἀφ' οὗ ἐλάλησε Κύριος τὸ ρῆμα τοῦτο
πρὸς Μωυσῆν καὶ ἐπορεύθη Ἰσραὴλ ἐν τῇ
ἐρήμῳ. καὶ νῦν ἰδοὺ ἐγὼ σήμερον
ὀγδοήκοντα καὶ πέντε ἐτῶν·
11 ἔτι εἰμὶ σήμερον ἰσχύων, ὡσεὶ ὅτε
ἀπέστειλέ με Μωυσῆς, ὡσαύτως ἰσχύω νῦν
ἐξελθεῖν καὶ εἰσελθεῖν εἰς τὸν πόλεμον.
12 καὶ νῦν αἰτοῦμαί σε τὸ ὄρος τοῦτο, καθὰ
εἶπε Κύριος τῇ ἡμέρᾳ ἐκείνῃ· ὅτι σὺ ἀκήκοας
τὸ ρῆμα τοῦτο ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. νῦν δὲ οἱ

Ἐνακὶμ ἐκεῖ εἰσι, πόλεις ὀχυραὶ καὶ μεγάλαι·
ἐὰν οὖν Κύριος μετ' ἐμοῦ ᾖ, ἐξολοθρεύσω
αὐτούς, ὃν τρόπον εἰπέ μοι Κύριος.
13 καὶ εὐλόγησεν αὐτὸν Ἰησοῦς καὶ ἔδωκε
Χεβρὼν τῷ Χάλεβ υἱῷ Ἰεφονὴ υἱῷ Κενὲζ ἐν
κλήρῳ.
14 διὰ τοῦτο ἐγενήθη ἡ Χεβρὼν τῷ Χάλεβ τῷ
τοῦ Ἰεφονὴ τοῦ Κενεζαίου ἐν κλήρῳ ἕως τῆς
ἡμέρας ταύτης, διὰ τὸ αὐτὸν ἐπακολουθῆσαι
τῷ προστάγματι Κυρίου Θεοῦ Ἰσραήλ.
15 τὸ δὲ ὄνομα τῆς Χεβρὼν ἦν τὸ πρότερον
πόλις Ἀρβόκ· μητρόπολις τῶν Ἐνακὶμ αὕτη.
καὶ ἡ γῆ ἐκόπασε τοῦ πολέμου.

# 15

1 ΚΑΙ ἐγένετο τὰ ὅρια φυλῆς Ἰούδα κατὰ
δήμους αὐτῶν ἀπὸ τῶν ὁρίων τῆς Ἰδουμαίας
ἀπὸ τῆς ἐρήμου Σὶν ἕως Κάδης πρὸς λίβα.
2 καὶ ἐγενήθη αὐτῶν τὰ ὅρια ἀπὸ λιβὸς ἕως
μέρους θαλάσσης τῆς ἁλυκῆς, ἀπὸ τῆς
λοφιᾶς τῆς φερούσης ἐπὶ λίβα
3 καὶ διαπορεύεται ἀπέναντι τῆς
προσαναβάσεως Ἀκραβὶν καὶ
ἐκπεριπορεύεται Σενὰ καὶ ἀναβαίνει ἀπὸ
λιβὸς ἐπὶ Κάδης Βαρνὴ καὶ ἐκπορεύεται
Ἀσωρὼν καὶ προσαναβαίνει εἰς Σάραδα καὶ
ἐκπορεύεται τὴν κατὰ δυσμὰς Κάδης
4 καὶ ἐκπορεύεται ἐπὶ Σελμωνὰν καὶ
διεκβάλλει ἕως φάραγγος Αἰγύπτου, καὶ
ἔσται αὐτοῦ ἡ διέξοδος τῶν ὁρίων ἐπὶ τὴν
θάλασσαν· τοῦτό ἐστιν αὐτῶν ὅρια ἀπὸ
λιβός.

5 καὶ τὰ ὅρια ἀπὸ ἀνατολῶν· πᾶσα ἡ
θάλασσα ἡ ἁλυκὴ ἕως τοῦ Ἰορδάνου. καὶ τὰ
ὅρια αὐτῶν ἀπὸ βορρᾶ καὶ ἀπὸ τῆς λοφιᾶς
τῆς θαλάσσης καὶ ἀπὸ τοῦ μέρους τοῦ
Ἰορδάνου·
6 ἐπιβαίνει τὰ ὅρια ἐπὶ Βαιθαγλὰ καὶ
παραπορεύεται ἀπὸ Βορρᾶ ἐπὶ Βαιθάραβα,
καὶ προσαναβαίνει τὰ ὅρια ἐπὶ λίθον Βαιὼν
υἱοῦ Ρουβήν,
7 καὶ προσαναβαίνει τὰ ὅρια ἐπὶ τὸ
τέταρτον τῆς φάραγγος Ἀχὼρ καὶ καταβαίνει
ἐπὶ Γαλγάλ, ἥ ἐστιν ἀπέναντι τῆς
προσβάσεως Ἀδδαμίν, ἥ ἐστι κατὰ λίβα τῇ
φάραγγι, καὶ διεκβάλλει ἐπὶ τὸ ὕδωρ πηγῆς
τοῦ ἡλίου, καὶ ἔσται αὐτοῦ ἡ διέξοδος πηγὴ
Ρωγήλ,
8 καὶ ἀναβαίνει τὰ ὅρια εἰς φάραγγα Ὀνὸμ
ἐπὶ νώτου Ἰεβοῦς ἀπὸ λιβὸς (αὕτη ἐστὶν
Ἱερουσαλὴμ) καὶ διεκβάλλει τὰ ὅρια ἐπὶ
κορυφὴν ὄρους, ἥ ἐστι κατὰ πρόσωπον
φάραγγος Ὀνὸμ πρὸς θαλάσσης, ἥ ἐστιν ἐκ
μέρους γῆς Ραφαΐν ἐπὶ βορρᾶ,
9 καὶ διεκβάλλει τὸ ὅριον ἀπὸ κορυφῆς τοῦ
ὄρους ἐπὶ πηγὴν ὕδατος Ναφθὼ καὶ
διεκβάλλει εἰς τὸ ὄρος Ἐφρών, καὶ ἄξει τὸ
ὅριον εἰς Βαὰλ (αὕτη ἐστὶ πόλις Ἰαρίμ),
10 καὶ περιελεύσεται ὅριον ἀπὸ Βαὰλ ἐπὶ
θάλασσαν καὶ παρελεύσεται εἰς ὄρος Ἀσσὰρ
ἐπὶ νώτου, Πόλιν Ἰαρὶν ἀπὸ βορρᾶ (αὕτη ἐστὶ
Χασλὼν) καὶ καταβήσεται ἐπὶ Πόλιν ἡλίου
καὶ παρελεύσεται ἐπὶ λίβα,
11 καὶ διεκβάλλει τὸ ὅριον κατὰ νώτου

Ἀκκαρὼν ἐπὶ βορρᾶν, καὶ διεκβαλεῖ τὰ ὅρια
εἰς Σοκχὼθ καὶ παρελεύσεται ὅρια ἐπὶ λίβα
καὶ διεκβαλεῖ ἐπὶ Λεβνά, καὶ ἔσται ἡ διέξοδος
τῶν ὁρίων ἐπὶ θάλασσαν. καὶ τὰ ὅρια αὐτῶν
ἀπὸ θαλάσσης· ἡ θάλασσα ἡ μεγάλη ὁριεῖ.
12 ταῦτα τὰ ὅρια υἱῶν Ἰούδα κύκλῳ κατὰ
δήμους αὐτῶν.
13 καὶ τῷ Χάλεβ υἱῷ Ἰεφοννὴ ἔδωκε μερίδα
ἐν μέσῳ υἱῶν Ἰούδα διὰ προστάγματος τοῦ
Θεοῦ, καὶ ἔδωκεν αὐτῷ Ἰησοῦς τὴν πόλιν
Ἀρβὸκ μητρόπολιν Ἐνὰκ (αὕτη ἐστὶ Χεβρών).
14 καὶ ἐξωλόθρευσεν ἐκεῖθεν Χάλεβ υἱὸς
Ἰεφοννὴ τοὺς τρεῖς υἱοὺς Ἐνάκ, τὸν Σουσὶ καὶ
Θολαμὶ καὶ τὸν Ἀχιμᾶ.
15 καὶ ἀνέβη ἐκεῖθεν Χάλεβ ἐπὶ τοὺς
κατοικοῦντας Δαβίρ· τὸ δὲ ὄνομα Δαβὶρ ἦν τὸ
πρότερον Πόλις γραμμάτων.
16 καὶ εἶπε Χάλεβ· ὃς ἐὰν λάβῃ καὶ ἐκκόψῃ
τὴν Πόλιν τῶν γραμμάτων καὶ κυριεύσῃ
αὐτῆς, δώσω αὐτῷ τὴν Ἀσχὰν θυγατέρα μου
εἰς γυναῖκα·
17 καὶ ἔλαβεν αὐτὴν Γοθονιὴλ υἱὸς Κενὲζ
ἀδελφὸς Χάλεβ ὁ νεώτερος καὶ ἔδωκεν αὐτῷ
τὴν Ἀσχὰν θυγατέρα αὐτοῦ γυναῖκα.
18 καὶ ἐγένετο ἐν τῷ ἐκπορεύεσθαι αὐτὴν
καὶ συνεβουλεύσατο αὐτῷ λέγουσα·
αἰτήσομαι τὸν πατέρα μου ἀγρόν· καὶ
ἐβόησεν ἐκ τοῦ ὄνου. καὶ εἶπεν αὐτῇ Χάλεβ·
τί ἐστί σοι;
19 καὶ εἶπεν αὐτῷ· δός μοι εὐλογίαν, ὅτι εἰς
γῆν Ναγὲβ δέδωκάς με· δός μοι τὴν

Γολαθμαίν. καὶ ἔδωκεν αὐτῇ Χάλεβ τὴν
Γολαθμαὶν τὴν ἄνω καὶ τὴν Γολαθμαὶν τὴν
κάτω.
20 αὕτη ἡ κληρονομία φυλῆς υἱῶν Ἰούδα.

21 Ἐγενήθησαν δὲ πόλεις αὐτῶν· πόλις
πρώτη φυλῆς υἱῶν Ἰούδα ἐφ' ὁρίων Ἐδὼμ ἐπὶ
τῆς ἐρήμου,
22 καὶ Βαισελεὴλ καὶ Ἀρὰ καὶ Ἀσὼρ καὶ
Ἰκὰμ καὶ Ρεγμὰ καὶ Ἀρουὴλ
23 καὶ Κάδης καὶ Ἀσοριωναὶν καὶ Μαινὰμ
24 καὶ Βαλμαινὰν καὶ αἱ κῶμαι αὐτῶν
25 καὶ αἱ πόλεις Ἀσερὼν (αὕτη Ἀσὼρ)
26 καὶ Σὴν καὶ Σαλμαὰ καὶ Μωλαδᾶ
27 καὶ Σερὶ καὶ Βαιφαλὰδ
28 καὶ Χολασεωλὰ καὶ Βηρσαβεὲ καὶ αἱ
κῶμαι αὐτῶν καὶ αἱ ἐπαύλεις αὐτῶν,
29 Βαλὰ καὶ Βακὼκ καὶ Ἀσὸμ
30 καὶ Ἐλβωϋδὰδ καὶ Βαιθὴλ καὶ Ἑρμᾶ
31 καὶ Σεκελὰκ καὶ Μαχαρὶμ καὶ Σεθεννὰκ
32 καὶ Λαβὼς καὶ Σαλὴ καὶ Ἐρωμώθ, πόλεις
εἰκοσιεννέα, καὶ αἱ κῶμαι αὐτῶν.
33 ἐν τῇ πεδινῇ· Ἀσταὼλ καὶ Ράα καὶ Ἄσσα
34 καὶ Ράμεν καὶ Τανὼ καὶ Ἰλουθὼθ καὶ
Μαιανὶ
35 καὶ Ἱερμοὺθ καὶ Ὀδολλὰμ καὶ Μεμβρὰ
καὶ Σαωχὼ καὶ Ἀζηκὰ
36 καὶ Σακαρὶμ καὶ Γάδηρα καὶ αἱ ἐπαύλεις
αὐτῆς, πόλεις δεκατέσσαρες καὶ αἱ κῶμαι
αὐτῶν·
37 Σεννὰ καὶ Ἀδασὰν καὶ Μαγαδαλγὰδ
38 καὶ Δαλὰλ καὶ Μασφὰ καὶ Ἰαχαρεὴλ καὶ
Λαχὶς

39 καὶ Βασηδὼθ καὶ Ἰδεαδαλέα
40 καὶ Χαβρὰ καὶ Μαχὲς καὶ Μααχὼς
41 καὶ Γεδδὼρ καὶ Βαγαδιὴλ καὶ Νωμὰν καὶ
Μαχηδάν, πόλεις ἑκκαίδεκα καὶ αἱ κῶμαι
αὐτῶν·
42 Λεβνὰ καὶ Ἰθὰκ καὶ Ἀνὼχ
43 καὶ Ἰανὰ καὶ Νασὶβ
44 καὶ Κεϊλὰμ καὶ Ἀκιεζὶ καὶ Κεζὶβ καὶ
Βαθησὰρ καὶ Αἰλώμ, πόλεις δέκα καὶ αἱ
κῶμαι αὐτῶν·
45 Ἀκκαρὼν καὶ αἱ κῶμαι αὐτῆς καὶ αἱ
ἐπαύλεις αὐτῶν·
46 ἀπὸ Ἀκκαρὼν Γεμνὰ καὶ πᾶσαι, ὅσαι εἰσὶ
πλησίον Ἀσηδώθ, καὶ αἱ κῶμαι αὐτῶν·
47 Ἀσιεδὼθ καὶ αἱ κῶμαι αὐτῆς καὶ αἱ
ἐπαύλεις αὐτῆς· Γάζα καὶ αἱ κῶμαι αὐτῆς καὶ
αἱ ἐπαύλεις αὐτῆς ἕως τοῦ χειμάρρου
Αἰγύπτου· καὶ ἡ θάλασσα ἡ μεγάλη διορίζει.
48 καὶ ἐν τῇ ὀρεινῇ· Σαμὶρ καὶ Ἰεθὲρ καὶ
Σωχὰ
49 καὶ Ρεννὰ καὶ Πόλις γραμμάτων (αὕτη
Δαβὶρ)
50 καὶ Ἀνὼν καὶ Ἐσκαιμὰν καὶ Αἰσὰμ
51 καὶ Γοσὸμ καὶ Χαλοὺ καὶ Χαννά, πόλεις
ἕνδεκα καὶ αἱ κῶμαι αὐτῶν·
52 Αἰρὲμ καὶ Ρεμνὰ καὶ Σομὰ
53 καὶ Ἰεμαΐν καὶ Βαιθαχοὺ καὶ Φακουὰ
54 καὶ Εὐμὰ καὶ πόλις Ἀρβὸκ (αὕτη ἐστὶ
Χεβρὼν) καὶ Σωραίθ, πόλεις ἐννέα καὶ αἱ
ἐπαύλεις αὐτῶν·
55 Μαὼρ καὶ Χερμὲλ καὶ Ὀζὶβ καὶ Ἰτὰν
56 καὶ Ἰαριὴλ καὶ Ἀρικὰμ καὶ Ζακαναΐμ

57 καὶ Γαβαὰ καὶ Θαμναθά, πόλεις ἐννέα
καὶ αἱ κῶμαι αὐτῶν·
58 Ἀλουὰ καὶ Βαιθσοὺρ καὶ Γεδδὼν
59 καὶ Μαγαρὼθ καὶ Βαιθανὰμ καὶ Θεκούμ,
πόλεις ἓξ καὶ αἱ κῶμαι αὐτῶν· Θεκὼ καὶ
Ἐφραθὰ (αὕτη ἐστὶ Βηθλεὲμ) καὶ Φαγὼρ καὶ
Αἰτὰν καὶ Κουλὸν καὶ Τατὰμ καὶ Θωβὴς καὶ
Καρὲμ καὶ Γαλὲμ καὶ Θεθὴρ καὶ Μανοχώ,
πόλεις ἕνδεκα καὶ αἱ κῶμαι αὐτῶν·
60 Καριαθβαὰλ (αὕτη ἡ πόλις Ἰαρὶμ) καὶ
Σωθηβᾶ, πόλεις δύο καὶ αἱ ἐπαύλεις αὐτῶν
61 καὶ Βαδδαργεὶς καὶ Θαραβαὰμ καὶ Αἰνὼν
62 καὶ Αἰχιοζὰ καὶ Ναφλαζὼν καὶ αἱ πόλεις
Σαδὼν καὶ Ἀγκάδης, πόλεις ἑπτὰ καὶ αἱ
κῶμαι αὐτῶν.
63 καὶ ὁ Ἰεβουσαῖος κατῴκει ἐν Ἱερουσαλήμ,
καὶ οὐκ ἠδυνάσθησαν οἱ υἱοὶ Ἰούδα ἀπολέσαι
αὐτούς· καὶ κατῴκησαν οἱ Ἰεβουσαῖοι ἐν
Ἱερουσαλὴμ ἕως τῆς ἡμέρας ταύτης.

# 16

1 ΚΑΙ ἐγένετο τὰ ὅρια υἱῶν Ἰωσὴφ ἀπὸ τοῦ
Ἰορδάνου τοῦ κατὰ Ἱεριχὼ ἀπὸ ἀνατολῶν καὶ
ἀναβήσεται ἀπὸ Ἱεριχὼ εἰς τὴν ὀρεινήν, τὴν
ἔρημον, εἰς Βαιθὴλ Λουζά,
2 καὶ ἐξελεύσεται εἰς Βαιθὴλ καὶ
παρελεύσεται ἐπὶ τὰ ὅρια τοῦ Ἀχαταρωθὶ
3 καὶ διελεύσεται ἐπὶ τὴν θάλασσαν ἐπὶ τὰ
ὅρια Ἀπταλὶμ ἕως τῶν ὁρίων Βαιθωρὼν τὴν
κάτω, καὶ ἔσται ἡ διέξοδος αὐτῶν ἐπὶ τὴν
θάλασσαν.

4 καὶ ἐκληρονόμησαν οἱ υἱοὶ Ἰωσὴφ Ἐφραὶμ
καὶ Μανασσῆ·
5 καὶ ἐγενήθη ὅρια υἱῶν Ἐφραὶμ κατὰ
δήμους αὐτῶν· καὶ ἐγενήθη τὰ ὅρια τῆς
κληρονομίας αὐτῶν ἀπ' ἀνατολῶν Ἀταρὼθ
καὶ Ἐρὼκ ἕως Βαιθωρὼν τὴν ἄνω καὶ
Γαζαρά,
6 καὶ διελεύσεται τὰ ὅρια ἐπὶ τὴν θάλασσαν
εἰς Ἰκασμὼν ἀπὸ βορρᾶ Θερμά, περιελεύσεται
ἐπ' ἀνατολὰς εἰς Θηνασὰ καὶ Σελλησὰ καὶ
παρελεύσεται ἀπ' ἀνατολῶν εἰς Ἰανωκὰ
7 καὶ εἰς Μαχώ, καὶ Ἀταρὼθ καὶ αἱ κῶμαι
αὐτῶν καὶ ἐλεύσεται ἐπὶ Ἱεριχὼ καὶ
διεκβαλεῖ ἐπὶ τὸν Ἰορδάνην.
8 καὶ ἀπὸ Τάφου πορεύσεται τὰ ὅρια ἐπὶ
θάλασσαν ἐπὶ Χελκανά, καὶ ἔσται ἡ διέξοδος
αὐτῶν ἐπὶ θάλασσαν· αὕτη ἡ κληρονομία
φυλῆς Ἐφραὶμ κατὰ δήμους αὐτῶν.
9 καὶ αἱ πόλεις αἱ ἀφορισθεῖσαι τοῖς υἱοῖς
Ἐφραὶμ ἀνὰ μέσον τῆς κληρονομίας υἱῶν
Μανασσῆ, πᾶσαι αἱ πόλεις καὶ αἱ κῶμαι
αὐτῶν.
10 καὶ οὐκ ἀπώλεσεν Ἐφραὶμ τὸν
Χαναναῖον τὸν κατοικοῦντα ἐν Γαζέρ, καὶ
κατῴκει ὁ Χαναναῖος ἐν τῷ Ἐφραὶμ ἕως τῆς
ἡμέρας ταύτης, ἕως ἀνέβη Φαραὼ βασιλεὺς
Αἰγύπτου καὶ ἔλαβεν αὐτὴν καὶ ἐνέπρησεν
αὐτὴν ἐν πυρί, καὶ τοὺς Χαναναίους καὶ τοὺς
Φερεζαίους καὶ τοὺς κατοικοῦντας ἐν Γαζὲρ
ἐξεκέντησαν, καὶ ἔδωκεν αὐτὴν Φαραὼ ἐν
φερνῇ τῇ θυγατρὶ αὐτοῦ.

# 17

1 ΚΑΙ ἐγένετο τὰ ὅρια φυλῆς υἱῶν
Μανασσῆ, ὅτι οὗτος πρωτότοκος τῷ Ἰωσήφ·
τῷ Μαχὶρ πρωτοτόκῳ Μανασσῆ πατρὶ
Γαλαάδ (ἀνὴρ γὰρ πολεμιστὴς ἦν) ἐν τῇ
Γαλααδίτιδι καὶ ἐν τῇ Βασανίτιδι.
2 καὶ ἐγενήθη τοῖς υἱοῖς Μανασσῆ τοῖς
λοιποῖς κατὰ δήμους αὐτῶν, τοῖς υἱοῖς Ἰεζὲρ
καὶ τοῖς υἱοῖς Κελὲζ καὶ τοῖς υἱοῖς Ἱεζιὴλ καὶ
τοῖς υἱοῖς Συχὲμ καὶ τοῖς υἱοῖς Συμαρὶμ καὶ
τοῖς υἱοῖς Ὀφέρ· οὗτοι ἄρσενες κατὰ δήμους
αὐτῶν.
3 καὶ τῷ Σαλπαὰδ υἱῷ Ὀφὲρ οὐκ ἦσαν αὐτῷ
υἱοί, ἀλλ' ἢ θυγατέρες. καὶ ταῦτα τὰ ὀνόματα
τῶν θυγατέρων Σαλπαάδ· Μααλὰ καὶ Νουὰ
καὶ Ἐγλὰ καὶ Μελχὰ καὶ Θερσά.
4 καὶ ἔστησαν ἐναντίον Ἐλεάζαρ τοῦ
ἱερέως, καὶ ἐναντίον Ἰησοῦ, καὶ ἐναντίον
τῶν ἀρχόντων λέγουσαι· ὁ Θεὸς ἐνετείλατο
διά χειρὸς Μωυσῆ δοῦναι ἡμῖν κληρονομίαν
ἐν μέσῳ τῶν ἀδελφῶν ἡμῶν. καὶ ἐδόθη
αὐταῖς διὰ προστάγματος Κυρίου κλῆρος ἐν
τοῖς ἀδελφοῖς τοῦ πατρὸς αὐτῶν.
5 καὶ ἔπεσεν ὁ σχοινισμὸς αὐτῶν ἀπὸ
Ἀνάσσα καὶ πεδίον Λαβὲκ ἐκ τῆς γῆς Γαλαάδ,
ἥ ἐστι πέραν τοῦ Ἰορδάνου·
6 ὅτι θυγατέρες υἱῶν Μανασσῆ
ἐκληρονόμησαν κλῆρον ἐν μέσῳ τῶν
ἀδελφῶν αὐτῶν· ἡ δὲ γῆ Γαλαὰδ ἐγενήθη
τοῖς υἱοῖς Μανασσῆ τοῖς καταλελειμμένοις.
7 καὶ ἐγενήθη ὅρια υἱῶν Μανασσῆ

Δηλανάθ, ἥ ἐστι κατὰ πρόσωπον υἱῶν Ἀνάθ,
καὶ πορεύεται ἐπὶ τὰ ὅρια ἐπὶ Ἰαμὶν καὶ
Ἰασσὶβ ἐπὶ πηγὴν Θαφθώθ·
8 τῷ Μανασσῇ ἔσται, καὶ Θαφὲθ ἐπὶ τῶν
ὁρίων Μανασσῆ, τοῖς υἱοῖς Ἐφραίμ.
9 καὶ καταβήσεται τὰ ὅρια ἐπὶ φάραγγα
Καρανὰ ἐπὶ λίβα κατὰ φάραγγα Ἰαριήλ,
τερέβινθος τῷ Ἐφραὶμ ἀνὰ μέσον πόλεως
Μανασσῆ· καὶ ὅρια Μανασσῆ ἐπὶ τὸν βορρᾶν
εἰς τὸν χειμάρρουν, καὶ ἔσται αὐτοῦ ἡ
διέξοδος θάλασσα.
10 ἀπὸ λιβὸς τῷ Ἐφραίμ, καὶ ἐπὶ βορρᾶν
Μανασσῆ, καὶ ἔσται ἡ θάλασσα ὅρια αὐτοῖς·
καὶ ἐπὶ Ἀσὴβ συνάψουσιν ἐπὶ βορρᾶν καὶ τῷ
Ἰσσάχαρ ἀπὸ ἀνατολῶν.
11 καὶ ἔσται Μανασσῆ ἐν Ἰσσάχαρ καὶ ἐν
Ἀσὴρ Βαιθσὰν καὶ αἱ κῶμαι αὐτῶν καὶ τοὺς
κατοικοῦντας Δὼρ καὶ τὰς κώμας αὐτῆς, καὶ
τοὺς κατοικοῦντας Μαγεδδώ, καὶ τὰς κώμας
αὐτῆς, καὶ τὸ τρίτον τῆς Ναφετὰ καὶ τὰς
κώμας αὐτῆς.
12 καὶ οὐκ ἠδυνάσθησαν οἱ υἱοὶ Μανασσῆ
ἐξολοθρεῦσαι τὰς πόλεις ταύτας, καὶ ἤρχετο
ὁ Χαναναῖος κατοικεῖν ἐν τῇ γῇ ταύτῃ·
13 καὶ ἐγενήθη καὶ ἐπεὶ κατίσχυσαν οἱ υἱοὶ
Ἰσραήλ, καὶ ἐποίησαν τοὺς Χαναναίους
ὑπηκόους, ἐξολοθρεῦσαι δὲ αὐτοὺς οὐκ
ἐξωλόθρευσαν.
14 ἀντεῖπαν δὲ οἱ υἱοὶ Ἰωσὴφ τῷ Ἰησοῖ
λέγοντες· διατί ἐκληρονόμησας ἡμᾶς κλῆρον
ἕνα καὶ σχοίνισμα ἕν; ἐγὼ δὲ λαὸς πολύς
εἰμι, καὶ ὁ Θεὸς εὐλόγησέ με.

15 καὶ εἶπεν αὐτοῖς Ἰησοῦς· εἰ λαὸς πολὺς
εἶ, ἀνάβηθι εἰς τὸν δρυμὸν καὶ ἐκκάθαρον
σεαυτῷ, εἰ στενοχωρεῖ σε τὸ ὄρος τὸ Ἐφραίμ.
16 καὶ εἶπαν· οὐκ ἀρέσκει ἡμῖν τὸ ὄρος τὸ
Ἐφραίμ, καὶ ἵππος ἐπίλεκτος καὶ σίδηρος τῷ
Χαναναίῳ τῷ κατοικοῦντι ἐν αὐτῷ ἐν
Βαιθσὰν καὶ ἐν ταῖς κώμαις αὐτῆς, ἐν τῇ
κοιλάδι Ἰεσραέλ.
17 καὶ εἶπεν Ἰησοῦς τοῖς υἱοῖς Ἰωσήφ· εἰ
λαὸς πολὺς εἶ, καὶ ἰσχὺν μεγάλην ἔχεις, οὐκ
ἔσται σοι κλῆρος εἷς·
18 ὁ γὰρ δρυμὸς ἔσται σοι, ὅτι δρυμός ἐστι
καὶ ἐκκαθαριεῖς αὐτόν, καὶ ἔσται σοι· καὶ
ὅταν ἐξολοθρεύσῃς τὸν Χαναναῖον, ὅτι ἵππος
ἐπίλεκτος αὐτῷ ἐστι, σὺ γὰρ ὑπερισχύεις
αὐτοῦ.

# 18

1 ΚΑΙ ἐξεκκλησιάσθη πᾶσα συναγωγὴ υἱῶν
Ἰσραὴλ εἰς Σηλὼ καὶ ἔπηξαν ἐκεῖ τὴν σκηνὴν
τοῦ μαρτυρίου, καὶ ἡ γῆ ἐκρατήθη ὑπ' αὐτῶν.
2 καὶ κατελείφθησαν οἱ υἱοὶ Ἰσραήλ, οἳ οὐκ
ἐκληρονόμησαν, ἑπτὰ φυλαί.
3 καὶ εἶπεν Ἰησοῦς τοῖς υἱοῖς Ἰσραήλ· ἕως
τίνος ἐκλυθήσεσθε κληρονομῆσαι τὴν γῆν, ἣν
ἔδωκε Κύριος ὁ Θεὸς ἡμῶν;
4 δότε ἐξ ὑμῶν ἄνδρας τρεῖς ἐκ φυλῆς, καὶ
ἀναστάντες διελθέτωσαν τὴν γῆν καὶ
διαγραψάτωσαν αὐτὴν ἐναντίον μου, καθὰ
δεήσει διελεῖν αὐτήν (καὶ διήλθοσαν πρὸς
αὐτόν,

5 καὶ διεῖλεν αὐτοῖς ἑπτὰ μερίδας). Ἰούδας
στήσεται αὐτοῖς ὅριον ἀπὸ λιβός, καὶ οἱ υἱοὶ
Ἰωσὴφ στήσονται αὐτοῖς ἀπὸ βορρᾶ.
6 ὑμεῖς δὲ μερίσατε τὴν γῆν ἑπτὰ μερίδας
καὶ ἐνέγκατε ὧδε πρός με, καὶ ἐξοίσω ὑμῖν
κλῆρον ἔναντι Κυρίου τοῦ Θεοῦ ἡμῶν.
7 οὐ γάρ ἐστι μερὶς τοῖς υἱοῖς Λευὶ ἐν ὑμῖν,
ἱερατεία γὰρ Κυρίου μερὶς αὐτοῦ· καὶ Γὰδ
καὶ Ρουβὴν καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ
ἐλάβοσαν τὴν κληρονομίαν αὐτῶν πέραν τοῦ
Ἰορδάνου ἐπ' ἀνατολάς, ἣν ἔδωκεν αὐτοῖς
Μωυσῆς ὁ παῖς Κυρίου.
8 καὶ ἀναστάντες οἱ ἄνδρες ἐπορεύθησαν,
καὶ ἐνετείλατο Ἰησοῦς τοῖς ἀνδράσι τοῖς
πορευομένοις χωροβατῆσαι τὴν γῆν λέγων·
πορεύεσθε καὶ χωροβατήσατε τὴν γῆν καὶ
παραγενήθητε πρός με, καὶ ὧδε ἐξοίσω ὑμῖν
κλῆρον ἔναντι Κυρίου ἐν Σηλώ.
9 καὶ ἐπορεύθησαν καὶ ἐχωροβάτησαν τὴν
γῆν καὶ εἴδοσαν αὐτὴν καὶ ἔγραψαν αὐτὴν
κατὰ πόλεις, ἑπτὰ μερίδας εἰς βιβλίον, καὶ
ἤνεγκαν πρὸς Ἰησοῦν.
10 καὶ ἐνέβαλεν αὐτοῖς Ἰησοῦς κλῆρον ἐν
Σηλὼ ἔναντι Κυρίου.

11 Καὶ ἐξῆλθεν ὁ κλῆρος φυλῆς Βενιαμὶν
πρῶτος κατὰ δήμους αὐτῶν, καὶ ἐξῆλθεν ὅρια
τοῦ κλήρου αὐτῶν ἀνὰ μέσον υἱῶν Ἰούδα καὶ
ἀνὰ μέσον τῶν υἱῶν Ἰωσήφ.
12 καὶ ἐγενήθη αὐτῶν τὰ ὅρια ἀπὸ βορρᾶ,
ἀπὸ τοῦ Ἰορδάνου προσαναβήσεται τὰ ὅρια
κατὰ νώτου Ἱεριχὼ ἀπὸ βορρᾶ καὶ

ἀναβήσεται ἐπὶ τὸ ὄρος ἐπὶ τὴν θάλασσαν,
καὶ ἔσται αὐτοῦ ἡ διέξοδος ἡ Μαβδαρῖτις
Βαιθών,
13 καὶ διελεύσεται ἐκεῖθεν τὰ ὅρια Λουζὰ
ἐπὶ νώτου Λουζὰ ἀπὸ λιβὸς (αὕτη ἐστὶ
Βαιθήλ), καὶ καταβήσεται τὰ ὅρια
Μααταρωθορὲχ ἐπὶ τὴν ὀρεινήν, ἥ ἐστι πρὸς
λίβα Βαιθωρὼν ἡ κάτω,
14 καὶ διελεύσεται τὰ ὅρια καὶ
περιελεύσεται ἐπὶ τὸ μέρος τὸ βλέπον παρὰ
θάλασσαν ἀπὸ λιβὸς ἀπὸ τοῦ ὄρους ἐπὶ
πρόσωπον Βαιθωρὼν λίβα, καὶ ἔσται αὐτοῦ ἡ
διέξοδος εἰς Καριαθβάαλ (αὕτη ἐστὶ
Καριαθιαρίν, πόλις υἱῶν Ἰούδα)· τοῦτό ἐστι
τὸ μέρος τὸ πρὸς θάλασσαν.
15 καὶ μέρος τὸ πρὸς λίβα ἀπό μέρους
Καριαθβάαλ, καὶ διελεύσεται ὅρια εἰς Γασὶν
ἐπὶ πηγὴν ὕδατος Ναφθώ,
16 καὶ καταβήσεται τὰ ὅρια ἐπὶ μέρους τοῦ
ὄρους, ὅ ἐστι κατὰ πρόσωπον νάπης Ὀννάμ, ὅ
ἐστιν ἐκ μέρους Ἐμεκραφαΐν ἀπὸ βορρᾶ, καὶ
καταβήσεται Γαίεννα ἐπὶ νῶτον Ἰεβουσαὶ
ἀπὸ λιβὸς καὶ καταβήσεται ἐπὶ πηγὴν Ρωγὴλ
17 καὶ διελεύσεται ἐπὶ πηγὴν Βαιθσαμὺς
καὶ παρελεύσεται ἐπὶ Γαλιλώθ, ἥ ἐστιν
ἀπέναντι πρὸς ἀνάβασαιν Αἰθαμίν, καὶ
καταβήσεται ἐπὶ λίθον Βαιὼν υἱῶν Ρουβὴν
18 καὶ διελεύσεται κατὰ νώτου Βαιθάραβα
ἀπὸ βορρᾶ, καὶ καταβήσεται ἐπὶ τὰ ὅρια ἐπὶ
νῶτον θάλασσαν ἀπὸ βορρᾶ,
19 καὶ ἔσται ἡ διέξοδος τῶν ὁρίων ἐπὶ
λοφιὰν τῆς θαλάσσης τῶν ἁλῶν ἐπὶ βορρᾶν

εἰς μέρος τοῦ Ἰορδάνου ἀπὸ λιβός· ταῦτα τὰ
ὅριά ἐστιν ἀπὸ λιβός.
20 καὶ ὁ Ἰορδάνης ὁριεῖ ἀπὸ μέρους
ἀνατολῶν. αὕτη ἡ κληρονομία υἱῶν
Βενιαμίν, τὰ ὅρια αὐτῆς κύκλῳ κατὰ δήμους.
21 καὶ ἐγενήθησαν αἱ πόλεις τῶν υἱῶν
Βενιαμὶν κατὰ δήμους αὐτῶν Ἱεριχὼ καὶ
Βεθεγαιὼ καὶ Ἀμεκασίς,
22 καὶ Βαιθαβαρὰ καὶ Σαρὰ καὶ Βησανὰ
23 καὶ Αἰεὶν καὶ Φαρὰ καὶ Ἐφραθὰ
24 καὶ Καραφὰ καὶ Κεφιρὰ καὶ Μονὶ καὶ
Γαβαά, πόλεις δώδεκα καὶ αἱ κῶμαι αὐτῶν·
25 Γαβαὼν καὶ Ραμὰ καὶ Βεηρωθὰ
26 καὶ Μασσημὰ καὶ Μιρὼν καὶ Ἀμωκὴ
27 καὶ Φιρὰ καὶ Καφὰν καὶ Νακὰν καὶ
Σεληκὰν καὶ Θαρεηλὰ
28 καὶ Ἰεβοῦς (αὕτη ἐστὶν Ἱερουσαλὴμ) καὶ
Γαβαωθιαρίμ, πόλεις δεκατρεῖς καὶ αἱ κῶμαι
αὐτῶν. αὕτη ἡ κληρονομία υἱῶν Βενιαμὶν
κατὰ δήμους αὐτῶν.

## 19

1 ΚΑΙ ἐξῆλθεν ὁ δεύτερος κλῆρος τῶν υἱῶν
Συμεών, καὶ ἐγενήθη ἡ κληρονομία αὐτῶν
ἀναμέσον κλήρων υἱῶν Ἰούδα.
2 καὶ ἐγενήθη ὁ κλῆρος αὐτῶν Βηρσαβεὲ
καὶ Σαμαὰ καὶ Κωλαδὰμ
3 καὶ Ἀρσωλὰ καὶ Βωλὰ καὶ Ἀσὸμ
4 καὶ Ἐλθουλὰ καὶ Βουλὰ καὶ Ἑρμᾶ
5 καὶ Σικελὰκ καὶ Βαιθμαχερὲβ καὶ
Σαρσουσὶν

6 καὶ Βαθαρὼθ καὶ οἱ ἀγροὶ αὐτῶν, πόλεις
δεκατρεῖς καὶ αἱ κῶμαι αὐτῶν·
7 Ἐρεμμὼν καὶ Θαλχὰ καὶ Ἐθὲρ καὶ Ἀσάν,
πόλεις τέσσαρες καὶ αἱ κῶμαι αὐτῶν
8 κύκλῳ τῶν πόλεων αὐτῶν ἕως Βαρὲκ
πορευομένων Βαμὲθ κατὰ λίβα. αὕτη ἡ
κληρονομία φυλῆς υἱῶν Συμεὼν κατὰ δήμους
αὐτῶν.
9 ἀπὸ τοῦ κλήρου τοῦ Ἰούδα ἡ κληρονομία
φυλῆς υἱῶν Συμεών, ὅτι ἐγενήθη ἡ μερὶς υἱῶν
Ἰούδα μείζων τῆς αὐτῶν καὶ ἐκληρονόμησαν
οἱ υἱοὶ Συμεὼν ἐν μέσῳ τοῦ κλήρου αὐτῶν.

10 Καὶ ἐξῆλθεν ὁ κλῆρος ὁ τρίτος τῷ
Ζαβουλὼν κατὰ δήμους αὐτῶν. ἔσται τὰ ὅρια
τῆς κληρονομίας αὐτῶν Ἐσεδεκγωλά· ὅρια
αὐτῶν
11 ἡ θάλασσα καὶ Μαραγγιλὰ καὶ συνάψει
ἐπὶ Βαιθάραβα εἰς τὴν φάραγγα, ἥ ἐστι κατὰ
πρόσωπον Ἰεκμάν,
12 καὶ ἀνέστρεψεν ἀπὸ Σεδδοὺκ ἐξ ἐναντίας
ἀπὸ ἀνατολῶν Βαιθσαμὺς ἐπὶ τὰ ὅρια
Χασελωθαὶθ καὶ διελεύσεται ἐπὶ Δαβιρὼθ
καὶ προσαναβήσεται ἐπὶ Φαγγαὶ
13 καὶ ἐκεῖθεν περιελεύσεται ἐξ ἐναντίας
ἐπ' ἀνατολὰς ἐπὶ Γεβερέ, ἐπὶ πόλιν Κατασέμ,
καὶ διελεύσεται ἐπὶ Ρεμμωνὰ Ἀμαθὰρ Ἀοζὰ
14 καὶ περιελεύσεται ὅρια ἐπὶ βορρᾶν ἐπὶ
Ἀμώθ, καὶ ἔσται ἡ διέξοδος αὐτῶν ἐπὶ
Γαιφαὴλ
15 καὶ Κατανὰθ καὶ Ναβαὰλ καὶ Συμοὼν
καὶ Ἱεριχὼ καὶ Βαιθμάν.
16 αὕτη ἡ κληρονομία τῆς φυλῆς υἱῶν

Ζαβουλὼν κατὰ δήμους αὐτῶν, πόλεις καὶ αἱ
κῶμαι αὐτῶν.
17 Καὶ τῷ Ἰσσάχαρ ἐξῆλθεν ὁ κλῆρος ὁ
τέταρτος.
18 καὶ ἐγενήθη τὰ ὅρια αὐτῶν Ἰαζὴλ καὶ
Χασαλὼθ καὶ Σουνὰμ
19 καὶ Ἀγὶν καὶ Σιωνὰ καὶ Ρεηρὼθ
20 καὶ Ἀναχερὲθ καὶ Δαβιρὼν καὶ Κισὼν καὶ
Ρεβὲς
21 καὶ Ρεμμὰς καὶ Ἰεὼν καὶ Τομμὰν καὶ
Αἱμαρὲκ καὶ Βηρσαφής,
22 καὶ συνάψει τὰ ὅρια ἐπὶ Γαιθβὼρ καὶ ἐπὶ
Σαλὶμ κατὰ θάλασσαν καὶ Βαιθσαμύς, καὶ
ἔσται αὐτοῦ ἡ διέξοδος τῶν ὁρίων ὁ
Ἰορδάνης.
23 αὕτη ἡ κληρονομία φυλῆς υἱῶν Ἰσσάχαρ
κατὰ δήμους αὐτῶν, αἱ πόλεις καὶ αἱ κῶμαι
αὐτῶν.
24 Καὶ ἐξῆλθεν ὁ κλῆρος ὁ πέμπτος Ἀσὴρ
κατὰ δήμους αὐτῶν.
25 καὶ ἐγενήθη τὰ ὅρια αὐτῶν Ἐξελεκὲθ καὶ
Ἀλὲφ καὶ Βαιθὸκ καὶ Κεὰφ
26 καὶ Ἐλιμελὲχ καὶ Ἀμιὴλ καὶ Μαασὰ καὶ
συνάψει τῷ Καρμήλῳ κατὰ θάλασσαν καὶ τῷ
Σιὼν καὶ Λαβανὰθ
27 καὶ ἐπιστρέψει ἀπὸ ἀνατολῶν ἡλίου καὶ
Βαιθεγενὲθ καὶ συνάψει τῷ Ζαβουλὼν καὶ
Ἐκγαῒ καὶ Φθαιὴλ κατὰ βορρᾶν, καὶ
εἰσελεύσεται ὅρια Σαφθαιβαιθμὲ καὶ Ἰναὴλ
καὶ διελεύσεται εἰς Χωβαμασομὲλ
28 καὶ Ἐλβὼν καὶ Ραὰβ καὶ Ἐμεμαὼν καὶ
Κανθὰν ἕως Σιδῶνος τῆς μεγάλης,

29 καὶ ἀναστρέψει τὰ ὅρια εἰς Ραμὰ καὶ ἕως
πηγῆς Μασφασσὰτ καὶ τῶν Τυρίων, καὶ
ἀναστρέψει τὰ ὅρια ἐπὶ Ἰασίφ, καὶ ἔσται ἡ
διέξοδος αὐτοῦ ἡ θάλασσα καὶ Ἀπολὲβ καὶ
Ἐχοζὸβ
30 καὶ Ἀρχὸβ καὶ Ἀφὲκ καὶ Ρααῦ.
31 αὕτη ἡ κληρονομία φυλῆς υἱῶν Ἀσὴρ
κατὰ δήμους αὐτῶν, πόλεις καὶ αἱ κῶμαι
αὐτῶν.
32 Καὶ τῷ Νεφθαλὶ ἐξῆλθεν ὁ κλῆρος ὁ
ἕκτος.
33 καὶ ἐγενήθη τὰ ὅρια αὐτῶν Μοολὰμ καὶ
Μωλὰ καὶ Βεσεμιΐν καὶ Ἀρμὲ καὶ Ναβὸκ καὶ
Ἰεφθαμαὶ ἕως Δωδάμ, καὶ ἐγενήθησαν αἱ
διέξοδοι αὐτοῦ Ἰορδάνης·
34 καὶ ἐπιστρέψει τὰ ὅρια ἐπὶ θάλασσαν
Ἐνὰθ Θαβὼρ καὶ διελεύσεται ἐκεῖθεν Ἰακανὰ
καὶ συνάψει τῷ Ζαβουλὼν ἀπὸ νώτου καὶ
Ἀσὴρ συνάψει κατὰ θάλασσαν, καὶ ὁ
Ἰορδάνης ἀπὸ ἀνατολῶν ἡλίου.
35 καὶ αἱ πόλεις τειχήρεις τῶν Τυρίων,
Τύρος καὶ Ὠμαθά, Δακὲθ καὶ Κενερὲθ
36 καὶ Ἀρμαῒθ καὶ Ἀραὴλ καὶ Ἀσὼρ
37 καὶ Κάδες καὶ Ἀσσαρὶ καὶ πηγὴ Ἀσὸρ
38 καὶ Κερωὲ καὶ Μεγαλὰ Ἀρὶμ καὶ
Βαιθθαμὲ καὶ Θεσσαμύς.
39 αὕτη ἡ κληρονομία φυλῆς υἱῶν Νεφθαλί.
40 Καὶ τῷ Δὰν ἐξῆλθεν ὁ κλῆρος ὁ ἕβδομος.
41 καὶ ἐγενήθη τὰ ὅρια αὐτῶν Σαρὰθ καὶ
Ἀσὰ καὶ πόλεις Σαμμάυς
42 καὶ Σαλαμὶν καὶ Ἀμμὼν καὶ Σιλαθὰ
43 καὶ Ἐλὼν καὶ Θαμναθὰ καὶ Ἀκκαρὼν

44 καὶ Ἀλκαθὰ καὶ Βεγεθὼν καὶ Γεβεελὰν
45 καὶ Ἀζὼρ καὶ Βαναιβακὰτ καὶ Γεθρεμών,
46 καὶ ἀπὸ θαλάσσης Ἱεράκων ὅριον
πληρίον Ἰόππης.
47 αὕτη ἡ κληρονομία φυλῆς υἱῶν Δὰν κατὰ
δήμους αὐτῶν, αἱ πόλεις αὐτῶν καὶ αἱ κῶμαι
αὐτῶν. καὶ οὐκ ἐξέθλιψαν οἱ υἱοὶ Δὰν τὸν
Ἀμορραῖον τὸν θλίβοντα αὐτοὺς ἐν τῷ ὄρει·
καὶ οὐκ εἴων αὐτοὺς οἱ Ἀμορραῖοι καταβῆναι
εἰς τὴν κοιλάδα καὶ ἔθλιψαν ἀπ' αὐτῶν τὸ
ὅριον τῆς μερίδος αὐτῶν.
48 καὶ ἐπορεύθησαν οἱ υἱοὶ Δὰν καὶ
ἐπολέμησαν τὴν Λαχὶς καὶ κατελάβοντο
αὐτὴν καὶ ἐπάταξαν αὐτὴν ἐν στόματι
μαχαίρας καὶ κατῴκησαν αὐτὴν καὶ
ἐκάλεσαν τὸ ὄνομα αὐτῆς Λασενδὰκ καὶ ὁ
Ἀμορραῖος ὑπέμεινε τοῦ κατοικεῖν ἐν Ἐλὼμ
καὶ ἐν Σαλαμίν· καὶ ἐβαρύνθη ἡ χεὶρ τοῦ
Ἐφραὶμ ἐπ' αὐτούς, καὶ ἐγένοντο αὐτοῖς εἰς
φόρον.

49 Καὶ ἐπορεύθησαν ἐμβατεῦσαι τὴν γῆν
κατὰ τὸ ὅριον αὐτῶν. καὶ ἔδωκαν οἱ υἱοὶ
Ἰσραὴλ κλῆρον τῷ Ἰησοῖ τῷ υἱῷ Ναυὴ ἐν
αὐτοῖς
50 διὰ προστάγματος τοῦ Θεοῦ· καὶ ἔδωκαν
αὐτῷ τὴν πόλιν, ἣν ᾐτήσατο, Θαμνασαράχ, ἥ
ἐστιν ἐν τῷ ὄρει Ἐφραίμ· καὶ ᾠκοδόμησε τὴν
πόλιν καὶ κατῴκει ἐν αὐτῇ.
51 αὗται αἱ διαιρέσεις ἃς
κατεκληρονόμησεν Ἐλεάζαρ ὁ ἱερεὺς καὶ
Ἰησοῦς ὁ τοῦ Ναυὴ καὶ οἱ ἄρχοντες τῶν

πατριῶν ἐν ταῖς φυλαῖς Ἰσραὴλ κατὰ κλήρους ἐν Σηλώ, ἔναντι Κυρίου, παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου· καὶ ἐπορεύθησαν ἐμβατεῦσαι τὴν γῆν.

# 20

1 ΚΑΙ ἐλάλησε Κύριος τῷ Ἰησοῖ λέγων·
2 λάλησον τοῖς υἱοῖς Ἰσραὴλ λέγων· δότε
τὰς πόλεις τῶν φυγαδευτηρίων, ἃς εἶπα πρὸς
ὑμᾶς διὰ Μωυσῆ.
3 φυγαδευτήριον τῷ φονευτῇ τῷ πατάξαντι
ψυχὴν ἀκουσίως, καὶ ἔσονται ὑμῖν αἱ πόλεις
φυγαδευτήριον, καὶ οὐκ ἀποθανεῖται ὁ
φονευτὴς ὑπό τοῦ ἀγχιστεύοντος τὸ αἷμα,
ἕως ἂν καταστῇ ἐναντίον τῆς συναγωγῆς εἰς
κρίσιν*[( Ἐκ τοῦ κώδ. Α)
4 Καὶ φεύξεται εἰς μίαν τῶν πόλεων τούτων
καὶ στήσεται ἐπὶ τὴν θύραν τῆς πόλεως καὶ
λαλήσει ἐν τοῖς ὠσὶ τῶν πρεσβυτέρων τῆς
πόλεως ἐκείνης τοὺς λόγους τούτους καὶ
ἐπιστρέψουσιν αὐτὸν ἡ συναγωγὴ πρὸς
αὐτοὺς καὶ δώσουσιν αὐτῷ τόπον καὶ
κατοικήσει μετ' αὐτῶν
5 καὶ ὅτι διώξεται ὁ ἀγχιστεύων τὸ αἷμα
ὀπίσω αὐτοῦ καὶ οὐ συγκλείσουσι τὸν
φονεύσαντα ἐν τῇ χειρὶ αὐτοῦ, ὅτι οὐκ εἰδὼς
ἐπάταξε τὸν πλησίον αὐτοῦ καὶ οὐ μισῶν
αὐτὸς αὐτὸν ἀπ' ἐχθὲς καὶ τῆς τρίτης
6 καὶ κατοικήσει ἐν τῇ πόλει ἐκείνῃ ἕως στῇ
κατὰ πρόσωπον τῆς συναγωγῆς εἰς κρίσιν
ἕως ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας, ὃς ἔσται ἐν

ταῖς ἡμέραις ἐκείναις· τότε ἐπιστρέψει ὁ
φονεύσας καὶ ἐλεύσεται εἰς τὴν πόλιν αὐτοῦ
καὶ πρὸς τὸν οἶκον αὐτοῦ καὶ πρὸς πόλιν
ὅθεν ἔφυγεν ἐκεῖθεν.].
7 καὶ διέστειλε τὴν Κάδης ἐν τῇ Γαλιλαίᾳ
ἐν τῷ ὄρει τῷ Νεφθαλὶ καὶ Συχὲμ ἐν τῷ ὄρει
τῷ Ἐφραὶμ καὶ τὴν πόλιν Ἀρβὸκ (αὕτη ἐστὶ
Χεβρών) ἐν τῷ ὄρει τῷ Ἰούδα.
8 καὶ ἐν τῷ πέραν τοῦ Ἰορδάνου ἔδωκε
Βοσὸρ ἐν τῇ ἐρήμῳ ἐν τῷ πεδίῳ ἀπὸ τῆς
φυλῆς Ρουβὴν καὶ Ἀρημὼθ ἐν τῇ Γαλαὰδ ἐκ
τῆς φυλῆς Γάδ, καὶ τὴν Γαυλὼν ἐν τῇ
Βασανίτιδι ἐκ τῆς φυλῆς Μανασσῆ.
9 αὗται αἱ πόλεις αἱ ἐπίκλητοι τοῖς υἱοῖς
Ἰσραὴλ καὶ τῷ προσηλύτῳ τῷ προσκειμένῳ
ἐν αὐτοῖς καταφυγεῖν ἐκεῖ παντὶ παίοντι
ψυχὴν ἀκουσίως, ἵνα μὴ ἀποθάνῃ ἐν χειρὶ
τοῦ ἀγχιστεύοντος τὸ αἷμα, ἕως ἂν καταστῇ
ἔναντι τῆς συναγωγῆς εἰς κρίσιν.

# 21

1 ΚΑΙ προσήλθοσαν οἱ ἀρχιπατριῶται τῶν
υἱῶν Λευὶ πρὸς Ἐλεάζαρ τὸν ἱερέα καὶ
Ἰησοῦν τὸν τοῦ Ναυὴ καὶ πρὸς τοὺς
ἀρχιφύλους πατριῶν ἐκ τῶν φυλῶν Ἰσραὴλ
2 καὶ εἶπον πρὸς αὐτοὺς ἐν Σηλὼ ἐν γῇ
Χαναὰν λέγοντες· ἐνετείλατο Κύριος ἐν χειρὶ
Μωυσῆ δοῦναι ἡμῖν πόλεις κατοικεῖν καὶ τὰ
περισπόρια τοῖς κτήνεσιν ἡμῶν.

3 καὶ ἔδωκαν οἱ υἱοὶ Ἰσραὴλ τοῖς λευίταις
ἐν τῷ κατακληρονομεῖν διὰ προστάγματος
Κυρίου τὰς πόλεις καὶ τὰ περισπόρια αὐτῶν.
4 καὶ ἐξῆλθεν ὁ κλῆρος τῷ δήμῳ Καάθ, καὶ
ἐγένετο τοῖς υἱοῖς Ἀαρὼν τοῖς ἱερεῦσι τοῖς
Λευίταις ἀπὸ φυλῆς Ἰούδα καὶ ἀπὸ φυλῆς
Συμεὼν καὶ ἀπὸ φυλῆς Βενιαμὶν κληρωτὶ
πόλεις δεκατρεῖς·
5 καὶ τοῖς υἱοῖς Καὰθ καταλελειμμένοις ἐκ
τῆς φυλῆς Ἐφραὶμ καὶ ἐκ τῆς φυλῆς Δὰν καὶ
ἀπὸ τοῦ ἡμίσους φυλῆς Μανασσῆ κληρωτὶ
πόλεις δέκα·
6 καὶ τοῖς υἱοῖς Γεδσὼν ἀπὸ τῆς φυλῆς
Ἰσσάχαρ καὶ ἀπὸ τῆς φυλῆς Ἀσὴρ καὶ ἀπὸ τῆς
φυλῆς Νεφθαλὶ καὶ ἀπὸ τοῦ ἡμίσους φυλῆς
Μανασσῆ ἐν τῇ Βασὰν πόλεις δεκατρεῖς·
7 καὶ τοῖς υἱοῖς Μεραρὶ κατὰ δήμους αὐτῶν
ἀπὸ φυλῆς Ρουβὴν καὶ ἀπὸ φυλῆς Γὰδ καὶ
ἀπὸ φυλῆς Ζαβουλὼν κληρωτὶ πόλεις
δώδεκα.
8 καὶ ἔδωκαν οἱ υἱοὶ Ἰσραὴλ τοῖς Λευίταις
τὰς πόλεις καὶ τὰ περισπόρια αὐτῶν, ὃν
τρόπον ἐνετείλατο Κύριος τῷ Μωυσῇ,
κληρωτί.
9 καὶ ἔδωκεν ἡ φυλὴ υἱῶν Ἰούδα καὶ ἡ φυλὴ
υἱῶν Συμεὼν καὶ ἀπὸ τῆς φυλῆς υἱῶν
Βενιαμὶν τὰς πόλεις ταύτας, καὶ
ἐπεκλήθησαν
10 τοῖς υἱοῖς Ἀαρὼν ἀπὸ τοῦ δήμου τοῦ
Καὰθ τῶν υἱῶν Λευί, ὅτι τούτοις ἐγενήθη ὁ
κλῆρος.
11 καὶ ἔδωκεν αὐτοῖς τὴν Καριαθαρβὸκ

μητρόπολιν τῶν Ἐνὰκ (αὕτη ἐστὶ Χεβρὼν) ἐν
τῷ ὄρει Ἰούδα· τὰ δὲ περισπόρια κύκλῳ αὐτῆς
12 καὶ τοὺς ἀγροὺς τῆς πόλεως καὶ τὰς
κώμας αὐτῆς ἔδωκεν Ἰησοῦς τοῖς υἱοῖς Χάλεβ
υἱοῦ Ἰεφοννὴ ἐν κατασχέσει·
13 καὶ τοῖς υἱοῖς Ἀαρὼν ἔδωκε τὴν πόλιν
φυγαδευτήριον τῷ φονεύσαντι, τὴν Χεβρὼν
καὶ τὰ ἀφωρισμένα τὰ σὺν αὐτῇ καὶ τὴν
Λεμνὰ καὶ τὰ ἀφωρισμένα τὰ πρὸς αὐτῇ.
14 καὶ τὴν Αἰλὼμ καὶ τὰ ἀφωρισμένα αὐτῇ
καὶ τὴν Τεμὰ καὶ τὰ ἀφωρισμένα αὐτῇ
15 καὶ τὴν Γελλὰ καὶ τὰ ἀφωρισμένα αὐτῇ
καὶ τὴν Δαβὶρ καὶ τὰ ἀφωρισμένα αὐτῇ
16 καὶ Ἀσὰ καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ
Τανὺ καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ
Βαιθσαμὺς καὶ τὰ ἀφωρισμένα αὐτῇ, πόλεις
ἐννέα παρὰ τῶν δύο φυλῶν τούτων.
17 καὶ παρὰ τῆς φυλῆς Βενιαμὶν τὴν
Γαβαὼν καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ Γαθὲθ
καὶ τὰ ἀφωρισμένα αὐτῇ
18 καὶ Ἀναθὼθ καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ
Γάμαλα καὶ τὰ ἀφωρισμένα αὐτῇ, πόλεις
τέσσαρες.
19 πᾶσαι αἱ πόλεις υἱῶν Ἀαρὼν τῶν ἱερέων
δεκατρεῖς.
20 καὶ τοῖς δήμοις υἱοῖς Καὰθ τοῖς Λευίταις
τοῖς καταλελειμμένοις ἀπὸ τῶν υἱῶν Καὰθ
καὶ ἐγενήθη ἡ πόλις τῶν ἱερέων αὐτῶν ἀπὸ
φυλῆς Ἐφραίμ,
21 καὶ ἔδωκαν αὐτοῖς τὴν πόλιν τοῦ
φυγαδευτηρίου τὴν τοῦ φονεύσαντος, τὴν
Συχὲμ καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ Γάζαρα

καὶ τὰ πρὸς αὐτὴν καὶ τὰ ἀφωρισμένα αὐτῇ
22 καὶ Βαιθωρὼν καὶ τὰ ἀφωρισμένα τὰ
αὐτῇ, πόλεις τέσσαρες.
23 καὶ ἐκ τῆς φυλῆς Δὰν τὴν Ἐλκωθαὶμ καὶ
τὰ ἀφωρισμένα αὐτῇ καὶ τὴν Γεθεδὰν καὶ τὰ
ἀφωρισμένα αὐτῇ
24 καὶ Αἰλὼν καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ
τὴν Γεθερεμμὼν καὶ τὰ ἀφωρισμένα αὐτῇ,
πόλεις τέσσαρες.
25 καὶ ἀπὸ τοῦ ἡμίσους φυλῆς Μανασσῆ τὴν
Ταναὰχ καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ τὴν
Ἰεβαθὰ καὶ τὰ ἀφωρισμένα αὐτῇ, πόλεις δύο.
26 πᾶσαι πόλεις δέκα καὶ τὰ ἀφωρισμένα
αὐτῇ τὰ πρὸς αὐταῖς τοῖς δήμοις υἱῶν Καὰθ
τοῖς ὑπολελειμμένοις.
27 καὶ τοῖς υἱοῖς Γεδσὼν τοῖς Λευίταις ἐκ
τοῦ ἡμίσους φυλῆς Μανασσῆ τὰς πόλεις τὰς
ἀφωρισμένας τοῖς φονεύσασι, τὴν Γαυλὼν ἐν
τῇ Βασανίτιδι καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ
τὴν Βοσορὰν καὶ τὰ ἀφωρισμένα αὐτῇ,
πόλεις δύο.
28 καὶ ἐκ τῆς φυλῆς Ἰσσάχαρ τὴν Κισὼν καὶ
τὰ ἀφωρισμένα αὐτῇ καὶ τὴν Δεββὰ καὶ τὰ
ἀφωρισμένα αὐτῇ
29 καὶ τὴν Ρεμμὰθ καὶ τὰ ἀφωρισμένα αὐτῇ
καὶ Πηγὴν γραμμάτων καὶ τὰ ἀφωρισμένα
αὐτῇ, πόλεις τέσσαρες.
30 καὶ ἐκ τῆς φυλῆς Ἀσὴρ τὴν Βασελλὰν καὶ
τὰ ἀφωρισμένα αὐτῇ καὶ τὴν Δαββὼν καὶ τὰ
ἀφωρισμένα αὐτῇ
31 καὶ Χελκὰτ καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ

τὴν Ραὰβ καὶ τὰ ἀφωρισμένα αὐτῇ, πόλεις
τέσσαρες.
32 καὶ ἐκ τῆς φυλῆς Νεφθαλὶ τὴν πόλιν τὴν
ἀφωρισμένην τῷ φονεύσαντι, τὴν Κάδης ἐν
τῇ Γαλιλαίᾳ καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ τὴν
Ἐμμὰθ καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ Θεμμὼν
καὶ τὰ ἀφωρισμένα αὐτῇ, πόλεις τρεῖς.
33 πᾶσαι αἱ πόλεις τοῦ Γεδσὼν κατὰ δήμους
αὐτῶν πόλεις δεκατρεῖς.
34 καὶ τῷ δήμῳ υἱῶν Μεραρὶ τοῖς Λευίταις
τοῖς λοιποῖς ἐκ τῆς φυλῆς Ζαβουλὼν τὴν
Μαὰν καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν
Κάδης καὶ τὰ περισπόρια αὐτῆς
35 καὶ Σελλὰ καὶ τὰ περισπόρια αὐτῆς,
πόλεις τρεῖς.
36 καὶ πέραν τοῦ Ἰορδάνου τοῦ κατὰ Ἱεριχὼ
ἐκ τῆς φυλῆς Ρουβήν, τὴν πόλιν τὸ
φυγαδευτήριον τοῦ φονεύσαντος, τὴν Βοσὸρ
ἐν τῇ ἐρήμῳ τῇ Μισὼρ καὶ τὰ περισπόρια
αὐτῆς καὶ τὴν Ἰαζὴρ καὶ τὰ περισπόρια αὐτῆς
37 καὶ τὴν Δεκμὼν καὶ τὰ περισπόρια αὐτῆς
καὶ τὴν Μαφὰ καὶ τὰ περισπόρια αὐτῆς,
πόλεις τέσσαρες.
38 καὶ ἀπὸ φυλῆς Γὰδ τὴν πόλιν τὸ
φυγαδευτήριον τοῦ φονεύσαντος, τὴν Ραμὼθ
ἐν τῇ Γαλαὰδ καὶ τὰ περισπόρια αὐτῆς καὶ
τὴν Καμὶν καὶ τὰ περισπόρια αὐτῆς
39 καὶ τὴν Ἐσεβὼν καὶ τὰ περισπόρια αὐτῆς
καὶ τὴν Ἰαζὴρ καὶ τὰ περισπόρια αὐτῆς,
πᾶσαι αἱ πόλεις τέσσαρες.
40 πᾶσαι αἱ πόλεις τοῖς υἱοῖς Μεραρὶ κατὰ
δήμους αὐτῶν τῶν καταλελειμμένων ἀπὸ τῆς

φυλῆς τῆς Λευί· καὶ ἐγενήθη τὰ ὅρια πόλεις
δεκαδύο.
41 πᾶσαι αἱ πόλεις τῶν Λευιτῶν ἐν μέσῳ
κατασχέσεως υἱῶν Ἰσραὴλ τεσσαράκοντα
ὀκτὼ πόλεις καὶ τὰ περισπόρια αὐτῶν κύκλῳ
τῶν πόλεων τούτων,
42 πόλις καὶ τὰ περισπόρια κύκλῳ τῆς
πόλεως πάσαις ταῖς πόλεσι ταύταις. 42α Καὶ
συνετέλεσεν Ἰησοῦς διαμερίσας τὴν γῆν ἐν
τοῖς ὁρίοις αὐτῶν. 42β καὶ ἔδωκαν οἱ υἱοὶ
Ἰσραὴλ μερίδα τῷ Ἰησοῖ κατὰ πρόσταγμα
Κυρίου· ἔδωκαν αὐτῷ τὴν πόλιν, ἣν ᾐτήσατο·
τὴν Θαμνασαρὰχ ἔδωκαν αὐτῷ ἐν τῷ ὅρει
Ἐφραίμ. 42γ καὶ ᾠκοδόμησεν Ἰησοῦς τὴν
πόλιν καὶ ᾤκησεν ἐν αὐτῇ. 42δ καὶ ἔλαβεν
Ἰησοῦς τὰς μαχαίρας τὰς πετρίνας, ἐν αἷς
περιέτεμε τοὺς υἱοὺς Ἰσραὴλ τοὺς
γενομένους ἐν τῇ ὁδῷ ἐν τῇ ἐρήμῳ, καὶ
ἔθηκεν αὐτὰς ἐν Θαμνασαράχ.

43 Καὶ ἔδωκε Κύριος τῷ Ἰσραὴλ πᾶσαν τὴν
γῆν, ἣν ὤμοσε δοῦναι τοῖς πατράσιν αὐτῶν,
καὶ κατεκληρονόμησαν αὐτὴν καὶ
κατῴκησαν ἐν αὐτῇ.
44 καὶ κατέπαυσεν αὐτοὺς Κύριος
κυκλόθεν, καθὰ ὤμοσε τοῖς πατράσιν αὐτῶν·
οὐκ ἀντέστη οὐθεὶς κατενώπιον αὐτῶν ἀπὸ
πάντων τῶν ἐχθρῶν αὐτῶν· πάντας τοὺς
ἐχθροὺς αὐτῶν παρέδωκε Κύριος εἰς τὰς
χεῖρας αὐτῶν.
45 οὐ διέπεσεν ἀπὸ πάντων τῶν ρημάτων
τῶν καλῶν, ὧν ἐλάλησε Κύριος τοῖς υἱοῖς

Ἰσραήλ· πάντα παρεγένετο.

# 22

1 ΤΟΤΕ συνεκάλεσεν Ἰησοῦς τοὺς υἱοὺς
Ρουβὴν καὶ τοὺς υἱοὺς Γὰδ καὶ τὸ ἥμισυ
φυλῆς Μανασσῆ
2 καὶ εἶπεν αὐτοῖς· ὑμεῖς ἀκηκόατε πάντα,
ὅσα ἐνετείλατο ὑμῖν Μωυσῆς ὁ παῖς Κυρίου,
καὶ ὑπηκούσατε τῆς φωνῆς μου κατὰ πάντα
ὅσα ἐνετειλάμην ὑμῖν.
3 οὐκ ἐγκαταλελοίπατε τοὺς ἀδελφοὺς
ὑμῶν ταύτας τὰς ἡμέρας καὶ πλείους ἕως τῆς
σήμερον ἡμέρας· ἐφυλάξασθε τὴν ἐντολὴν
Κυρίου τοῦ Θεοῦ ὑμῶν.
4 νῦν δὲ κατέπαυσε Κύριος ὁ Θεὸς ἡμῶν
τοὺς ἀδελφοὺς ἡμῶν, ὃν τρόπον εἶπεν αὐτοῖς·
νῦν οὖν ἀποστραφέντες ἀπέλθατε εἰς τοὺς
οἴκους ὑμῶν καὶ εἰς τὴν γῆν τῆς
κατασχέσεως ὑμῶν, ἣν ἔδωκεν ὑμῖν Μωυσῆς
ἐν τῷ πέραν τοῦ Ἰορδάνου.
5 ἀλλὰ φυλάξασθε σφόδρα ποιεῖν τὰς
ἐντολὰς καὶ τὸν νόμον, ὃν ἐνετείλατο ἡμῖν
ποιεῖν Μωυσῆς ὁ παῖς Κυρίου, ἀγαπᾶν
Κύριον τὸν Θεὸν ἡμῶν, πορεύεσθαι πάσαις
ταῖς ὁδοῖς αὐτοῦ, φυλάξασθαι τὰς ἐντολὰς
αὐτοῦ καὶ προσκεῖσθαι αὐτῷ καὶ λατρεύειν
αὐτῷ ἐξ ὅλης τῆς διανοίας ὑμῶν καὶ ἐξ ὅλης
τῆς ψυχῆς ὑμῶν.
6 καὶ εὐλόγησεν αὐτοὺς Ἰησοῦς καὶ
ἐξαπέστειλεν αὐτούς, καὶ ἐπορεύθησαν εἰς
τοὺς οἴκους αὐτῶν.

7 καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ ἔδωκε
Μωυσῆς ἐν τῇ Βασανίτιδι, καὶ τῷ ἡμίσει
ἔδωκεν Ἰησοῦς μετὰ τῶν ἀδελφῶν αὐτοῦ ἐν
τῷ πέραν τοῦ Ἰορδάνου παρὰ τὴν θάλασσαν.
καὶ ἡνίκα ἐξαπέστειλεν αὐτοὺς Ἰησοῦς εἰς
τοὺς οἴκους αὐτῶν καὶ εὐλόγησεν αὐτούς,
8 καὶ ἐν χρήμασι πολλοῖς ἀπήλθοσαν εἰς
τοὺς οἴκους αὐτῶν, καὶ κτήνη πολλὰ σφόδρα
καὶ ἀργύριον καὶ χρυσίον καὶ σίδηρον καὶ
ἱματισμὸν πολὺν διείλαντο τὴν προνομὴν
τῶν ἐχθρῶν μετὰ τῶν ἀδελφῶν αὐτῶν.

9 Καὶ ἐπορεύθησαν οἱ υἱοὶ Ρουβὴν καὶ οἱ
υἱοὶ Γὰδ καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ ἀπὸ
τῶν υἱῶν Ἰσραὴλ ἐκ Σηλὼ ἐν γῇ Χανααὰν
ἀπελθεῖν εἰς τὴν Γαλαὰδ εἰς γῆν
κατασχέσεως αὐτῶν, ἣν ἐκληρονόμησαν
αὐτὴν διὰ προστάγματος Κυρίου ἐν χειρὶ
Μωυσῆ.
10 καὶ ἦλθον εἰς Γάλγαλα τοῦ Ἰορδάνου, ἥ
ἐστιν ἐν γῇ Χαναάν, καὶ ᾠκοδόμησαν οἱ υἱοὶ
Ρουβὴν καὶ οἱ υἱοὶ Γὰδ καὶ τὸ ἥμισυ φυλῆς
Μανασσῆ ἐκεῖ βωμὸν ἐπὶ τοῦ Ἰορδάνου,
βωμὸν μέγαν τοῦ ἰδεῖν.
11 καὶ ἤκουσαν οἱ υἱοὶ Ἰσραὴλ λεγόντων·
ἰδοὺ ᾠκοδομήκασιν οἱ υἱοὶ Ρουβὴν καὶ οἱ υἱοὶ
Γὰδ καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ βωμὸν ἐφ'
ὁρίων γῆς Χανααὰν ἐπὶ τοῦ Γαλαὰδ τοῦ
Ἰορδάνου ἐν τῷ πέραν υἱῶν Ἰσραήλ.
12 καὶ συνηθροίσθησαν πάντες οἱ υἱοὶ
Ἰσραὴλ εἰς Σηλώ, ὥστε ἀναβάντες
ἐκπολεμῆσαι αὐτούς.

13 καὶ ἀπέστειλαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς τοὺς
υἱοὺς Ρουβὴν καὶ πρὸς τοὺς υἱοὺς Γὰδ καὶ
πρὸς τοὺς υἱοὺς ἥμισυ φυλῆς Μανασσῆ εἰς
γῆν Γαλαὰδ τόν τε Φινεὲς υἱὸν Ἐλεάζαρ υἱοῦ
Ἀαρὼν τοῦ ἀρχιερέως
14 καὶ δέκα τῶν ἀρχόντων μετ' αὐτοῦ,
ἄρχων εἷς ἀπὸ οἴκου πατριᾶς ἀπὸ πασῶν
φυλῶν Ἰσραήλ· ἄρχοντες οἴκων πατριῶν εἰσι,
χιλίαρχοι Ἰσραήλ.
15 καὶ παρεγένοντο πρὸς τοὺς υἱοὺς Ρουβὴν
καὶ πρὸς τοὺς υἱοὺς Γὰδ καὶ πρὸς τοὺς
ἡμίσεις φυλῆς Μανασσῆ εἰς γῆν Γαλαὰδ καὶ
ἐλάλησαν πρὸς αὐτοὺς λέγοντες·
16 τάδε λέγει πᾶσα ἡ συναγωγὴ Κυρίου· τίς
ἡ πλημμέλεια αὕτη, ἣν ἐπλημμελήσατε
ἐναντίον τοῦ Θεοῦ Ἰσραήλ, ἀποστραφῆναι
σήμερον ἀπὸ Κυρίου οἰκοδομήσαντες ὑμῖν
ἑαυτοῖς βωμόν, ἀποστάτας ὑμᾶς γενέσθαι
ἀπὸ τοῦ Κυρίου;
17 μὴ μικρὸν ὑμῖν τὸ ἁμάρτημα Φογώρ; ὅτι
οὐκ ἐκαθαρίσθημεν ἀπ' αὐτοῦ ἕως τῆς ἡμέρας
ταύτης καὶ ἐγενήθη πληγὴ ἐν τῇ συναγωγῇ
Κυρίου.
18 καὶ ὑμεῖς ἀπεστράφητε σήμερον ἀπὸ
Κυρίου; καὶ ἔσται ἐὰν ἀποστῆτε σήμερον ἀπὸ
Κυρίου, καὶ αὔριον ἐπὶ πάντα Ἰσραὴλ ἔσται ἡ
ὀργή.
19 καὶ νῦν εἰ μικρὰ ἡ γῆ ὑμῶν τῆς
κατασχέσεως ὑμῶν, διάβητε εἰς τὴν γῆν τῆς
Κυρίου κατασχέσεως, οὗ κατασκηνοῖ ἐκεῖ ἡ
σκηνὴ Κυρίου, καὶ κατακληρονομήσατε ἐν

ἡμῖν· καὶ μὴ ἀπὸ Θεοῦ ἀποστάται γενήθητε
καὶ ὑμεῖς μηδ' ἀπόστητε ἀπὸ Κυρίου διὰ τὸ
οἰκοδομῆσαι ὑμᾶς βωμὸν ἔξω τοῦ
θυσιαστηρίου Κυρίου τοῦ Θεοῦ ἡμῶν.
20 οὐκ ἰδοὺ Ἄχαρ ὁ τοῦ Ζαρᾶ πλημμελείᾳ
ἐπλημμέλησεν ἀπὸ τοῦ ἀναθέματος καὶ ἐπὶ
πᾶσαν συναγωγὴν Ἰσραὴλ ἐγενήθη ὀργή; καὶ
οὗτος εἷς αὐτὸς ἀπέθανε τῇ ἑαυτοῦ ἁμαρτίᾳ.

21 Καὶ ἀπεκρίθησαν οἱ υἱοὶ Ρουβὴν καὶ οἱ
υἱοὶ Γὰδ καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ καὶ
ἐλάλησαν τοῖς χιλιάρχοις Ἰσραὴλ λέγοντες·
22 ὁ Θεὸς Θεὸς Κύριός ἐστι, καὶ ὁ Θεὸς
Θεὸς αὐτὸς οἶδε, καὶ Ἰσραὴλ αὐτὸς γνώσεται·
εἰ ἐν ἀποστασίᾳ ἐπλημμελήσαμεν ἔναντι τοῦ
Κυρίου, μὴ ρύσαιτο ἡμᾶς ἐν τῇ ἡμέρᾳ ταύτῃ·
23 καὶ εἰ ᾠκοδομήσαμεν ἑαυτοῖς βωμὸν
ὥστε ἀποστῆναι ἀπὸ Κυρίου τοῦ Θεοῦ ἡμῶν,
ὥστε ἀναβιβάσαι ἐπ' αὐτὸν θυσίαν
ὁλοκαυτωμάτων ἢ ὥστε ποιῆσαι ἐπ' αὐτοῦ
θυσίαν σωτηρίου, Κύριος ἐκζητήσει.
24 ἀλλ' ἕνεκεν εὐλαβείας ρήματος
ἐποιήσαμεν τοῦτο λέγοντες· ἵνα μὴ εἴπωσιν
αὔριον τὰ τέκνα ὑμῶν τοῖς τέκνοις ἡμῶν, τί
ὑμῖν καὶ Κυρίῳ τῷ Θεῷ Ἰσραήλ;
25 καὶ ὅρια ἔθηκε Κύριος ἀνὰ μέσον ἡμῶν
καὶ ὑμῶν τὸν Ἰορδάνην, καὶ οὐκ ἔστιν ὑμῖν
μερὶς Κυρίου. καὶ ἀπαλλοτριώσουσιν οἱ υἱοὶ
ὑμῶν τοὺς υἱοὺς ἡμῶν, ἵνα μὴ σέβωνται
Κύριον.
26 καὶ εἴπαμεν ποιῆσαι οὕτω, τοῦ
οἰκοδομῆσαι τὸν βωμὸν τοῦτον οὐχ ἕνεκεν

καρπωμάτων οὐδὲ ἕνεκεν θυσιῶν,
27 ἀλλ' ἵνα ᾖ τοῦτο μαρτύριον ἀνὰ μέσον
ἡμῶν καὶ ὑμῶν καὶ ἀνὰ μέσον τῶν γενεῶν
ἡμῶν μεθ' ἡμᾶς, τοῦ λατρεύειν λατρείαν
Κυρίου ἐναντίον αὐτοῦ, ἐν τοῖς καρπώμασιν
ἡμῶν καὶ ἐν ταῖς θυσίαις ἡμῶν καὶ ἐν ταῖς
θυσίαις τῶν σωτηρίων ἡμῶν· καὶ οὐκ ἐροῦσι
τὰ τέκνα ὑμῶν τοῖς τέκνοις ἡμῶν αὔριον·
οὐκ ἔστιν ὑμῖν μερὶς Κυρίου.
28 καὶ εἴπομεν· ἐὰν γένηταί ποτε καὶ
λαλήσωσι πρὸς ἡμᾶς καὶ ταῖς γενεαῖς ἡμῶν
αὔριον, καὶ ἐροῦσιν· ἴδετε ὁμοίωμα τοῦ
θυσιαστηρίου Κυρίου, ὃ ἐποίησαν οἱ πατέρες
ἡμῶν οὐχ ἕνεκεν καρπωμάτων οὐδὲ ἕνεκεν
θυσιῶν, ἀλλὰ μαρτύριόν ἐστιν ἀνὰ μέσον
ὑμῶν καὶ ἀνὰ μέσον ἡμῶν καὶ ἀνὰ μέσον τῶν
υἱῶν ἡμῶν.
29 μὴ γένοιτο οὖν ἡμᾶς ἀποστραφῆναι ἀπὸ
Κυρίου ἐν τῇ σήμερον ἡμέρᾳ ἀποστῆναι ἀπὸ
Κυρίου, ὥστε οἰκοδομῆσαι ἡμᾶς
θυσιαστήριον τοῖς καρπώμασι καὶ ταῖς
θυσίαις Σαλαμὶν καὶ τῇ θυσίᾳ τοῦ σωτηρίου,
πλὴν τοῦ θυσιαστηρίου Κυρίου, ὅ ἐστιν
ἐναντίον τῆς σκηνῆς αὐτοῦ.
30 Καὶ ἀκούσας Φινεὲς ὁ ἱερεὺς καὶ πάντες
οἱ ἄρχοντες τῆς συναγωγῆς Ἰσραήλ, οἳ ἦσαν
μετ' αὐτοῦ, τοὺς λόγους, οὓς ἐλάλησαν οἱ
υἱοὶ Ρουβὴν καὶ οἱ υἱοὶ Γὰδ καὶ τὸ ἥμισυ
φυλῆς Μανασσῆ, καὶ ἤρεσεν αὐτοῖς.
31 καὶ εἶπε Φινεὲς ὁ ἱερεὺς τοῖς υἱοῖς
Ρουβὴν καὶ τοῖς υἱοῖς Γὰδ καὶ τῷ ἡμίσει

φυλῆς Μανασσῆ· σήμερον ἐγνώκαμεν ὅτι μεθ' ἡμῶν Κύριος, διότι οὐκ ἐπλημμελήσατε ἐναντίον Κυρίου πλημμέλειαν καὶ ὅτι ἐρρύσασθε τοὺς υἱοὺς Ἰσραὴλ ἐκ χειρὸς Κυρίου.
32 καὶ ἀπέστρεψε Φινεὲς ὁ ἱερεὺς καὶ οἱ ἄρχοντες ἀπὸ τῶν υἱῶν Ρουβὴν καὶ ἀπὸ τῶν υἱῶν Γὰδ καὶ ἀπὸ τοῦ ἡμίσους φυλῆς Μανασσῆ ἐκ τῆς Γαλαὰδ εἰς γῆν Χαναὰν πρὸς τοὺς υἱοὺς Ἰσραὴλ καὶ ἀπεκρίθησαν αὐτοῖς τοὺς λόγους,
33 καὶ ἤρεσε τοῖς υἱοῖς Ἰσραήλ. καὶ ἐλάλησαν πρὸς τοὺς υἱοὺς Ἰσραήλ, καὶ εὐλόγησαν τὸν Θεὸν υἱῶν Ἰσραὴλ καὶ εἶπαν μηκέτι ἀναβῆναι πρὸς αὐτοὺς εἰς πόλεμον ἐξολοθρεῦσαι τὴν γῆν τῶν υἱῶν Ρουβὴν καὶ τῶν υἱῶν Γὰδ καὶ τοῦ ἡμίσους φυλῆς Μανασσῆ. καὶ κατῴκησαν ἐπ' αὐτῆς.
34 καὶ ἐπωνόμασεν Ἰησοῦς τὸν βωμὸν τῶν Ρουβὴν καὶ τῶν Γὰδ καὶ τοῦ ἡμίσους φυλῆς Μανασσῆ καὶ εἶπεν ὅτι μαρτύριόν ἐστιν ἀνὰ μέσον αὐτῶν, ὅτι Κύριος ὁ Θεὸς αὐτῶν ἐστι.

# 23

1 ΚΑΙ ἐγένετο μεθ' ἡμέρας πλείους μετὰ τὸ καταπαῦσαι Κύριον τὸν Ἰσραὴλ ἀπὸ πάντων τῶν ἐχθρῶν αὐτοῦ κυκλόθεν, καὶ Ἰησοῦς πρεσβύτερος προβεβηκὼς ταῖς ἡμέραις,
2 καὶ συνεκάλεσεν Ἰησοῦς πάντας τοὺς υἱοὺς Ἰσραὴλ καὶ τὴν γερουσίαν αὐτῶν καὶ τοὺς ἄρχοντας αὐτῶν καὶ τοὺς δικαστὰς

αὐτῶν καὶ τοὺς γραμματεῖς αὐτῶν καὶ εἶπε
πρὸς αὐτούς· ἐγὼ γεγήρακα καὶ προβέβηκα
ταῖς ἡμέραις.

3 ὑμεῖς δὲ ἑωράκατε ὅσα ἐποίησε Κύριος ὁ
Θεὸς ἡμῶν πᾶσι τοῖς ἔθνεσι τούτοις ἀπὸ
προσώπου ἡμῶν, ὅτι Κύριος ὁ Θεὸς ὑμῶν ὁ
ἐκπολεμήσας ὑμῖν.

4 ἴδετε ὅτι ἐπέρριφα ὑμῖν τὰ ἔθνη τὰ
καταλελειμμένα ὑμῖν ταῦτα ἐν τοῖς κλήροις
εἰς τὰς φυλὰς ὑμῶν· ἀπὸ τοῦ Ἰορδάνου πάντα
τά ἔθνη, ἃ ἐξωλόθρευσα, καὶ ἀπὸ τῆς
θαλάσσης τῆς μεγάλης ὁριεῖ ἐπὶ δυσμὰς
ἡλίου.

5 Κύριος δὲ ὁ Θεὸς ἡμῶν οὗτος
ἐξολοθρεύσει αὐτοὺς ἀπὸ προσώπου ἡμῶν,
ἕως ἂν ἀπόλωνται, καὶ ἀποστελεῖ αὐτοῖς τὰ
θηρία τὰ ἄγρια, ἕως ἂν ἐξολοθρεύσῃ αὐτοὺς
καὶ τοὺς βασιλεῖς αὐτῶν ἀπὸ προσώπου
ὑμῶν, καὶ κατακληρονομήσετε τὴν γῆν
αὐτῶν, καθὰ ἐλάλησε Κύριος ὁ Θεὸς ἡμῶν
ὑμῖν.

6 κατισχύσατε οὖν σφόδρα φυλάσσειν καὶ
ποιεῖν πάντα τὰ γεγραμμένα ἐν τῷ βιβλίῳ
τοῦ νόμου Μωυσῆ, ἵνα μὴ ἐκκλίνητε εἰς δεξιὰ
ἢ εὐώνυμα,

7 ὅπως μὴ εἰσέλθητε εἰς τὰ ἔθνη τὰ
καταλελειμμένα ταῦτα, καὶ τὰ ὀνόματα τῶν
θεῶν αὐτῶν οὐκ ὀνομασθήσεται ἐν ὑμῖν, οὐδὲ
μὴ λατρεύσητε οὐδὲ μὴ προσκυνήσητε αὐτοῖς,

8 ἀλλὰ Κυρίῳ τῷ Θεῷ ὑμῶν
προσκολληθήσεσθε, καθάπερ ἐποιήσατε ἕως

τῆς ἡμέρας ταύτης.
9 καὶ ἐξολοθρεύσει αὐτοὺς Κύριος ἀπὸ
προσώπου ὑμῶν ἔθνη μεγάλα καὶ ἰσχυρά, καὶ
οὐδεὶς ἀντέστη κατενώπιον ἡμῶν ἕως τῆς
ἡμέρας ταύτης.
10 εἷς ὑμῶν ἐδίωξε χιλίους, ὅτι Κύριος ὁ
Θεὸς ἡμῶν οὗτος ἐξεπολέμει ὑμῖν, καθάπερ
εἶπεν ἡμῖν.
11 καὶ φυλάξασθε σφόδρα τοῦ ἀγαπᾶν
Κύριον τὸν Θεὸν ἡμῶν.
12 ἐὰν γὰρ ἀποστραφῆτε καὶ προσθῆσθε
τοῖς ὑπολειφθεῖσιν ἔθνεσι τούτοις τοῖς μεθ'
ὑμῶν καὶ ἐπιγαμίας ποιήσητε πρὸς αὐτοὺς
καὶ συγκαταμιγῆτε αὐτοῖς καὶ αὐτοὶ ὑμῖν,
13 γινώσκετε ὅτι οὐ μὴ προσθῇ Κύριος τοῦ
ἐξολοθρεῦσαι τὰ ἔθνη ταῦτα ἀπὸ προσώπου
ὑμῶν, καὶ ἔσονται ὑμῖν εἰς παγίδας καὶ εἰς
σκάνδαλα καὶ εἰς ἥλους ἐν ταῖς πτέρναις
ὑμῶν καὶ εἰς βολίδας ἐν τοῖς ὀφθαλμοῖς
ὑμῶν, ἕως ἂν ἀπόλησθε ἀπὸ τῆς γῆς τῆς
ἀγαθῆς ταύτης, ἣν ἔδωκεν ὑμῖν Κύριος ὁ
Θεὸς ὑμῶν.
14 ἐγὼ δὲ ἀποτρέχω τὴν ὁδόν, καθὰ καὶ
πάντες οἱ ἐπὶ τῆς γῆς, καὶ γνώσεσθε τῇ
καρδίᾳ ὑμῶν καὶ τῇ ψυχῇ ὑμῶν, διότι οὐκ
ἔπεσεν εἷς λόγος ἀπὸ πάντων τῶν λόγων, ὧν
εἶπε Κύριος ὁ Θεὸς ἡμῶν πρὸς πάντα τὰ
ἀνήκοντα ἡμῖν, οὐ διεφώνησεν ἐξ αὐτῶν.
15 καὶ ἔσται ὃν τρόπον ἥκει πρὸς ἡμᾶς
πάντα τὰ ῥήματα τὰ καλά, ἃ ἐλάλησε Κύριος
ἐφ' ὑμᾶς, οὕτως ἐπάξει Κύριος ὁ Θεὸς ἐφ'

ὑμᾶς πάντα τὰ ρήματα τὰ πονηρὰ ἕως ἂν
ἐξολοθρεύσῃ ὑμᾶς ἀπὸ τῆς γῆς τῆς ἀγαθῆς
ταύτης, ἧς ἔδωκε Κύριος ὑμῖν,
16 ἐν τῷ παραβῆναι ὑμᾶς τὴν διαθήκην
Κυρίου τοῦ Θεοῦ ἡμῶν, ἣν ἐνετείλατο ἡμῖν,
καὶ πορευθέντες λατρεύσητε θεοῖς ἑτέροις
καὶ προσκυνήσητε αὐτοῖς.

# 24

1 ΚΑΙ συνήγαγεν Ἰησοῦς πάσας φυλὰς
Ἰσραὴλ εἰς Σηλὼ καὶ συνεκάλεσε τοὺς
πρεσβυτέρους αὐτῶν καὶ τοὺς γραμματεῖς
αὐτῶν καὶ τοὺς δικαστὰς αὐτῶν καὶ ἔστησεν
αὐτοὺς ἀπέναντι τοῦ Θεοῦ.
2 καὶ εἶπεν Ἰησοῦς πρὸς πάντα τὸν λαόν·
τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· πέραν τοῦ
ποταμοῦ παρῴκησαν οἱ πατέρες ὑμῶν τὸ ἀπ'
ἀρχῆς, Θάρα ὁ πατὴρ Ἀβραὰμ καὶ ὁ πατὴρ
Ναχώρ, καὶ ἐλάτρευσαν θεοῖς ἑτέροις.
3 καὶ ἔλαβον τὸν πατέρα ὑμῶν τὸν Ἀβραὰμ
ἐκ τοῦ πέραν τοῦ ποταμοῦ καὶ ὡδήγησα
αὐτὸν ἐν πάσῃ τῇ γῇ καὶ ἐπλήθυνα αὐτοῦ
σπέρμα
4 καὶ ἔδωκα αὐτῷ τὸν Ἰσαάκ, καὶ τῷ Ἰσαὰκ
τὸν Ἰακὼβ καὶ τὸν Ἡσαῦ· καὶ ἔδωκα τῷ
Ἡσαῦ τὸ ὄρος τὸ Σηεὶρ κληρονομῆσαι αὐτῷ,
καὶ Ἰακὼβ καὶ οἱ υἱοὶ αὐτοῦ κατέβησαν εἰς
Αἴγυπτον καὶ ἐγένοντο ἐκεῖ εἰς ἔθνος μέγα
καὶ πολὺ καὶ κραταιόν. καὶ ἐκάκωσαν
αὐτοὺς οἱ Αἰγύπτιοι,

5 καὶ ἐπάταξε Κύριος τὴν Αἴγυπτον ἐν
σημείοις, οἷς ἐποίησεν ἐν αὐτοῖς.
6 καὶ μετὰ ταῦτα ἐξήγαγε τοὺς πατέρας
ἡμῶν ἐξ Αἰγύπτου, καὶ εἰσήλθατε εἰς τὴν
θάλασσαν τὴν ἐρυθράν. καὶ κατεδίωξαν οἱ
Αἰγύπτιοι ὀπίσω τῶν πατέρων ἡμῶν ἐν
ἅρμασι καὶ ἐν ἵπποις εἰς τὴν θάλασσαν τὴν
ἐρυθράν,
7 καὶ ἀνεβοήσαμεν πρὸς Κύριον, καὶ ἔδωκε
νεφέλην καὶ γνόφον ἀναμέσον ἡμῶν καὶ
ἀναμέσον τῶν Αἰγυπτίων καὶ ἐπήγαγεν ἐπ'
αὐτοὺς τὴν θάλασσαν, καὶ ἐκάλυψεν αὐτούς,
καὶ εἴδοσαν οἱ ὀφθαλμοὶ ὑμῶν ὅσα ἐποίησε
Κύριος ἐν γῇ Αἰγύπτῳ, καὶ ἦτε ἐν τῇ ἐρήμῳ
ἡμέρας πλείους.
8 καὶ ἤγαγεν ἡμᾶς εἰς γῆν Ἀμορραίων τῶν
κατοικούντων πέραν τοῦ Ἰορδάνου, καὶ
παρετάξαντο ὑμῖν καὶ παρέδωκεν αὐτοὺς
Κύριος εἰς τὰς χεῖρας ὑμῶν, καὶ
κατεκληρονομήσατε τὴν γῆν αὐτῶν καὶ
ἐξωλοθρεύσατε αὐτοὺς ἀπὸ προσώπου ὑμῶν.
9 καὶ ἀνέστη Βαλὰκ ὁ τοῦ Σεπφὼρ βασιλεὺς
Μωὰβ καὶ παρετάξατο τῷ Ἰσραὴλ καὶ
ἀποστείλας ἐκάλεσε τὸν Βαλαὰμ ἀράσασθαι
ἡμῖν·
10 καὶ οὐκ ἠθέλησε Κύριος ὁ Θεός σου
ἀπολέσαι σε, καὶ εὐλογίαις εὐλόγησεν ὑμᾶς,
καὶ ἐξείλατο ὑμᾶς ἐκ χειρῶν αὐτῶν, καὶ
παρέδωκεν αὐτούς.
11 καὶ διέβητε τὸν Ἰορδάνην καὶ
παρεγενήθητε εἰς Ἱεριχώ· καὶ ἐπολέμησαν

πρὸς ἡμᾶς οἱ κατοικοῦντες Ἱεριχώ, ὁ
Ἀμορραῖος καὶ ὁ Χαναναῖος καὶ ὁ Φερεζαῖος
καὶ ὁ Εὐαῖος καὶ ὁ Ἰεβουσαῖος καὶ ὁ Χετταῖος
καὶ ὁ Γεργεσαῖος, καὶ παρέδωκεν αὐτοὺς
Κύριος εἰς τὰς χεῖρας ὑμῶν.
12 καὶ ἐξαπέστειλε προτέραν ὑμῶν τὴν
σφηκιάν, καὶ ἐξαπέστειλεν αὐτοὺς ἀπὸ
προσώπου ὑμῶν, δώδεκα βασιλεῖς τῶν
Ἀμορραίων, οὐκ ἐν τῇ ρομφαίᾳ σου οὐδὲ ἐν
τῷ τόξῳ σου.
13 καὶ ἔδωκεν ὑμῖν γῆν, ἐφ' ἣν οὐκ
ἐκοπιάσατε ἐπ᾿ αὐτῆς, καὶ πόλεις, ἃς οὐκ
ᾠκοδομήκατε, καὶ κατῳκίσθητε ἐν αὐταῖς·
καὶ ἀμπελῶνας καὶ ἐλαιῶνας, οὓς οὐκ
ἐφυτεύσατε ὑμεῖς, ἔδεσθε.
14 καὶ νῦν φοβήθητε Κύριον, καὶ
λατρεύσατε αὐτῷ ἐν εὐθύτητι καὶ ἐν
δικαιοσύνῃ καὶ περιέλεσθε τοὺς θεοὺς τοὺς
ἀλλοτρίους, οἷς ἐλάτρευσαν οἱ πατέρες ἡμῶν
ἐν τῷ πέραν τοῦ ποταμοῦ καὶ ἐν Αἰγύπτῳ, καὶ
λατρεύσατε Κυρίῳ.
15 εἰ δὲ μὴ ἀρέσκει ὑμῖν λατρεύειν Κυρίῳ,
ἐκλέξασθε ὑμῖν αὐτοῖς σήμερον, τίνι
λατρεύσητε, εἴτε τοῖς θεοῖς τῶν πατέρων
ὑμῶν, τοῖς ἐν τῷ πέραν τοῦ ποταμοῦ, εἴτε
τοῖς θεοῖς τῶν Ἀμορραίων, ἐν οἷς ὑμεῖς
κατοικεῖτε ἐπὶ τῆς γῆς αὐτῶν· ἐγὼ δὲ καὶ ἡ
οἰκία μου λατρεύσομεν Κυρίῳ, ὅτι ἅγιός ἐστι.

16 Καὶ ἀποκριθεὶς ὁ λαὸς εἶπε· μὴ γένοιτο
ἡμῖν καταλιπεῖν Κύριον, ὥστε λατρεύειν
θεοῖς ἑτέροις.

17 Κύριος ὁ Θεός ἡμῶν, αὐτὸς Θεός ἐστιν· αὐτὸς ἀνήγαγεν ἡμᾶς καὶ τοὺς πατέρας ἡμῶν ἐξ Αἰγύπτου καὶ διεφύλαξεν ἡμᾶς ἐν πάσῃ τῇ ὁδῷ, ᾗ ἐπορεύθημεν ἐν αὐτῇ, καί ἐν πᾶσι τοῖς ἔθνεσιν, οὓς παρήλθομεν δι' αὐτῶν.
18 καὶ ἐξέβαλε Κύριος τὸν Ἀμορραῖον καὶ πάντα τὰ ἔθνη τὰ κατοικοῦντα τὴν γῆν ἀπὸ προσώπου ἡμῶν. ἀλλὰ καὶ ἡμεῖς λατρεύσομεν Κυρίῳ· οὗτος γὰρ Θεὸς ἡμῶν ἐστι.
19 καὶ εἶπεν Ἰησοῦς πρὸς τὸν λαόν· οὐ μὴ δύνησθε λατρεύειν Κυρίῳ, ὅτι ὁ Θεὸς ἅγιός ἐστι, καὶ ζηλώσας οὗτος οὐκ ἀνήσει τὰ ἁμαρτήματα ὑμῶν καὶ τὰ ἀνομήματα ὑμῶν·
20 ἡνίκα ἂν ἐγκαταλίπητε Κύριον καὶ λατρεύσητε θεοῖς ἑτέροις, καὶ ἐπελθὼν κακώσει ὑμᾶς καὶ ἐξαναλώσει ὑμᾶς ἀνθ' ὧν εὖ ἐποίησεν ὑμᾶς.
21 καὶ εἶπεν ὁ λαὸς πρὸς Ἰησοῦν· οὐχί, ἀλλὰ Κυρίῳ λατρεύσομεν.
22 καὶ εἶπεν Ἰησοῦς πρὸς τὸν λαόν· μάρτυρες ὑμεῖς καθ' ὑμῶν, ὅτι ὑμεῖς ἐξελέξασθε Κυρίῳ λατρεύειν αὐτῷ.
23 καὶ νῦν περιέλεσθε τοὺς θεοὺς τοὺς ἀλλοτρίους τοὺς ἐν ὑμῖν καὶ εὐθύνατε τὴν καρδίαν ὑμῶν πρὸς Κύριον Θεὸν Ἰσραήλ.
24 καὶ εἶπεν ὁ λαὸς πρὸς Ἰησοῦν· Κυρίῳ λατρεύσομεν καὶ τῆς φωνῆς αὐτοῦ ἀκουσόμεθα.
25 καὶ διέθετο Ἰησοῦς διαθήκην πρὸς τὸν

λαὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ ἔδωκεν αὐτῷ
νόμον καὶ κρίσιν ἐν Σηλὼ ἐνώπιον τῆς
σκηνῆς τοῦ Θεοῦ Ἰσραήλ.
26 καὶ ἔγραψε τὰ ρήματα ταῦτα εἰς βιβλίον
νόμων τοῦ Θεοῦ· καὶ ἔλαβε λίθον μέγαν καὶ
ἔστησεν αὐτὸν Ἰησοῦς ὑπὸ τὴν τερέμινθον
ἀπέναντι Κυρίου.
27 καὶ εἶπεν Ἰησοῦς πρὸς τὸν λαόν· ἰδοὺ ὁ
λίθος οὗτος ἔσται ἐν ὑμῖν εἰς μαρτύριον, ὅτι
αὐτὸς ἀκήκοε πάντα τὰ λεχθέντα αὐτῷ ὑπὸ
Κυρίου, ὅ,τι ἐλάλησε πρὸς ὑμᾶς σήμερον· καὶ
οὗτος ἔσται ἐν ὑμῖν εἰς μαρτύριον ἐπ'
ἐσχάτων τῶν ἡμερῶν, ἡνίκα ἂν ψεύσησθε
Κυρίῳ τῷ Θεῷ μου.
28 καὶ ἀπέστειλεν Ἰησοῦς τὸν λαόν, καὶ
ἐπορεύθησαν ἕκαστος εἰς τὸν τόπον αὐτοῦ.
29 καὶ ἐλάτρευσεν Ἰσραὴλ τῷ Κυρίῳ πάσας
τὰς ἡμέρας Ἰησοῦ καὶ πάσας τὰς ἡμέρας τῶν
πρεσβυτέρων, ὅσοι ἐφείλκυσαν τὸν χρόνον
μετὰ Ἰησοῦ καὶ ὅσοι εἴδοσαν πάντα τὰ ἔργα
Κυρίου, ὅσα ἐποίησε τῷ Ἰσραήλ.

30 Καὶ ἐγένετο μετ' ἐκεῖνα καὶ ἀπέθανεν
Ἰησοῦς υἱὸς Ναυὴ δοῦλος Κυρίου ἑκατὸν
δέκα ἐτῶν.
31 καὶ ἔθαψαν αὐτὸν πρὸς τοῖς ὁρίοις τοῦ
κλήρου αὐτοῦ ἐν Θαμνασασὰχ ἐν τῷ ὄρει τῷ
Ἐφραὶμ ἀπὸ βορρᾶ τοῦ ὄρους Γαάς· ἐκεῖ
ἔθηκαν μετ' αὐτοῦ εἰς τό μνῆμα, εἰς ὃ ἔθαψαν
αὐτὸν ἐκεῖ, τὰς μαχαίρας τὰς πετρίνας, ἐν
αἷς περιέτεμε τοὺς υἱοὺς Ἰσραὴλ ἐν
Γαλγάλοις, ὅτε ἐξήγαγεν αὐτοὺς ἐξ

Αἰγύπτου, καθὰ συνέταξεν αὐτοῖς Κύριος, καὶ ἐκεῖ εἰσιν ἕως τῆς σήμερον ἡμέρας.
32 καὶ τὰ ὀστᾶ Ἰωσὴφ ἀνήγαγον οἱ υἱοὶ Ἰσραὴλ ἐξ Αἰγύπτου καὶ κατώρυξαν ἐν Σικίμοις, ἐν τῇ μερίδι τοῦ ἀγροῦ, οὗ ἐκτήσατο Ἰακὼβ παρὰ τῶν Ἀμορραίων τῶν κατοικούντων ἐν Σικίμοις ἀμνάδων ἑκατὸν καὶ ἔδωκεν αὐτὴν Ἰωσὴφ ἐν μερίδι.
33 καὶ ἐγένετο μετὰ ταῦτα καὶ Ἐλεάζαρ υἱὸς Ἀαρὼν ὁ ἀρχιερεὺς ἐτελεύτησε καὶ ἐτάφη ἐν Γαβαὰρ Φινεὲς τοῦ υἱοῦ αὐτοῦ, ἣν ἔδωκεν αὐτῷ ἐν τῷ ὄρει Ἐφραίμ. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ λαβόντες οἱ υἱοὶ Ἰσραὴλ τὴν κιβωτὸν τοῦ Θεοῦ περιεφέροσαν ἐν ἑαυτοῖς, καὶ Φινεὲς ἱεράτευσεν ἀντὶ Ἐλεάζαρ τοῦ πατρὸς αὐτοῦ, ἕως ἀπέθανε καὶ κατωρύγη ἐν Γαβαὰρ τῇ ἑαυτοῦ. οἱ δὲ υἱοὶ Ἰσραὴλ ἀπήλθοσαν ἕκαστος εἰς τὸν τόπον αὐτῶν καὶ εἰς τὴν ἑαυτῶν πόλιν. καὶ ἐσέβοντο οἱ υἱοὶ Ἰσραὴλ τὴν Ἀστάρτην καὶ Ἀσταρὼθ καὶ τοὺς θεοὺς τῶν ἐθνῶν τῶν κύκλῳ αὐτῶν· καὶ παρέδωκεν αὐτοὺς Κύριος εἰς χεῖρας Ἐγλὼμ τῷ βασιλεῖ Μωάβ, καὶ ἐκυρίευσεν αὐτῶν ἔτη δεκαοκτώ.

# Η Παλαιά Διαθήκη κατά τη μετάφραση των εβδομήκοντα (Ο') | SEPTUAGINTA

## The Old Testament in Ancient Greek, Septuagint translation

Public Domain

℗ Orthodox Media Network

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Koine

ORTHODOX MEDIA NETWORK-ΟΡΘΟΔΟΞΟ ΔΙΚΤΥΟ ΕΝΗΜΕΡΩΣΗΣ
A Voice from the Heart of Mount Athos to the World
Orthodox Media Network (https://vivlos.link/DEqNY) was founded on Mount Athos – the only monastic republic in the world – with main mission to promote the Holy Scriptures and preserve the spiritual and cultural heritage of Orthodox monasticism, using mainly the internet.
Since 2010, its founder and General Secretary, Apostolos Vavylis, has become the first person internationally to record the entire Bible in both the original ancient Greek text and its modern Greek translation.
This work – unprecedented in Orthodox tradition – has reached and inspired millions:
* Over 15 million people (estimated) have listened to at least one chapter of the recorded Bible.

* Hundreds of independent accounts across nearly every digital platform, share these recordings in countless forms.
We have never claimed copyright or demanded takedowns of these reproductions — because our goal is not profit, but the free and faithful dissemination of the Word of God and the blessing it brings to the world.
We welcome anyone that would like to publicly share our work with the only condition to publish the present text as a minimum respect to our mission.
* Our vision:

To place a Bible in every Greek-speaking home, wherever it may be on earth.

There are an estimated 17 million Greeks living in nearly 100 countries.
* If you wish to support or partner with us, please contact:

* vivlos.net@gmail.com

The Old Testament (Septuaginta)
<a href="https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI">https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI
We are a voice of Orthodoxy, a witness of the Word, and a blessing to the Nations.

2026-02-12

---

PDF generated using Haiola and XeLaTeX on 13 Feb 2026 from source files dated 12 Feb 2026
ca02bfb2-f119-5bc3-ba15-888748b9800a